78—164. Πάροδος ποιοῦσα πρὸ τῶν ὀμμάτων τὸν πρὸ τῶν τειχῶν τῆς πόλεως πολεμικὸν ὀρυμαγδὸν ἐν δυνάμει καὶ πλαστικῇ ἐναργείᾳ τῆς ἐκφράσεως ὁμοίᾳ πρὸς τὴν τῆς ἐν Ἀγαμέμνονι σκηνῆς τῆς Κασάνδρας, δι' ἧς γενόμεθα θεαταὶ τῶν ἐν τῷ οἴκῳ πραττομένων. Ὁ ὅμιλος τῶν παρθένων ἐκδειματούμενος ὑπὸ τῆς ἐπικειμένης πολεμικῆς καταιγίδος παρέρχεται ἱκέτης τῶν ἐν τῇ Ἀκροπόλει θεῶν (168), φανταζόμενος δέ, ὅτι βλέπει τὸν ἐχθρὸν ἐφορμῶντα ἐν ἀλαλητῷ καὶ κτύπῳ καὶ κυκλούμενον τὸ πόλισμα Κάδμου δεῖται τῶν θεῶν νὰ ἀποσοβήσωσι τὴν ἅλωσιν ἐν τοιαύτῃ ὀδύνῃ, φόβῳ καὶ ταραχῇ, ὥστε οὐδὲν ἠδύνατο νὰ ποιηθῇ ἐντονώτερον εἰς ἐκδήλωσιν τοῦ κινδύνου καὶ συγκίνησιν τῶν ψυχῶν. Τίνα δὲν συγκινοῦσιν αἱ εἰκονικαὶ ῥήσεις περὶ τοῦ ἐπερχομένου ἐχθροῦ (78—85) καὶ τίνα δὲν πληροῦσιν οἱονεὶ ἱεροῦ φόβου καὶ θρησκευτικῆς κατανύξεως ἀναγινώσκοντα τὰς εἰς τοὺς θεοὺς καὶ τὰς θεὰς ἀναπεμπομένας εὐχάς; Ἀνέκφραστος διακέχυται διὰ παντὸς τοῦ χορικοῦ τούτου ᾄσματος ἡ σφοδρότης τῶν ἐν μεγίστῳ κινδύνῳ ταρβουσῶν παρθενικῶν ψυχῶν. Ἐὰν δὲ μόνη ἡ ἀνάγνωσις ἐμποιῇ τοιαύτην αἴσθησιν, ὥστε νομίζει τις, ὅτι βλέπει τὰ ἐν τῷ δράματι πρόσωπα καὶ πράγματα, τότε ποία τις θὰ ἦτο ἡ ἐντύπωσις τῶν θεατῶν ἐκ τῆς ὑποκρίσεως, τῆς θέας τῶν παρθένων καὶ τοῦ ἤχου τῆς φωνῆς αὐτῶν; Ἔτι δὲ πρὸς τούτοις καταλεκτέον καὶ τὴν ἐν τῇ διδασκαλίᾳ προσγενομένην πλαστικὴν ἐνάργειαν ἐκ τῶν σχημάτων τῆς ὀρχήσεως, καθὰ ἱστορεῖται παρ' Ἀθηναίῳ 1, σ. 22Α «Τελέστης ὁ Αἰσχύλου ὀρχηστὴς οὕτως ἦν τεχνίτης ὥστε ἐν τῷ ὀρχεῖσθαι τοὺς Ἑπτὰ ἐπὶ Θήβας φανερὰ ποιῆσαι τὰ πράγματα δι' ὀρχήσεως». Περὶ τοῦ αὐτοῦ δὲ Τελέστου λέγεται αὐτόθι πρότερον ὅτι «πολλὰ ἐξεύρηκε σχήματα, ἄκρως ταῖς χερσὶ τὰ λεγόμενα δεικνύς». Χειρονομίαν τοιαύτην ὑπεμφαίνει παραδείγματος χάριν τὸ ὅδε 89. — Διῄρηται δὲ τὸ ᾆσμα εἰς τέσσαρα μέρη. Ἐν τῷ πρώτῳ μέρει (78—105) ἐξαγγέλλουσιν οἱ δώδεκα χορευταὶ ἕκαστος καθ' ἑαυτὸν στίχους ἐν ᾗ τάξει παρῆλθον καθ' ἕνα (σποράδην, πρβ. Πολυδ. 4, 107 ἔσθ' ὅτε καὶ καθ' ἕνα ἐποιοῦντο τὴν πάροδον), ὡς Εὐμ. 244 κέ., ἤ, ὡς φαίνεται, ἐν τρισὶ στοίχοις ἐκ τεσσάρων κατὰ βάθος καὶ τριῶν κατὰ μέτωπον, διότι ὁ χορὸς ἀποτελεῖται ἐκ παρθένων, αἵτινες, ὡς εἴρηται, φόβῳ ἐλαυνόμεναι ἔδραμον ἐπισπερχῶς εἰς τοὺς βωμοὺς τῶν θεῶν, ἑπομένως πρότερον δὲν ἦσαν συνηθροισμέναι. Ἐν τῷ δευτέρῳ μέρει (108—113) τάσσονται οἱ καθ' ἕνα χορευταὶ κατὰ στοίχους ἀνὰ τρεῖς κατὰ μέτωπον καὶ τέσσαρας κατὰ βάθος, ἐν τῷ τρίτῳ (134—150) ἀποτελοῦσιν οἱ στοῖχοι δύο ἡμιχόρια, ἅτινα ἑνούμενα ἐν τῷ τετάρτῳ μέρει (151—164) ἀπαρτίζουσι σύμπαντα τὸν χορόν. — Τὴν ἐν τῷ δράματι ἐκλογὴν τῶν παρθένων ὡς χοροῦ ἐξηγεῖται καλῶς ὁ Σχολιαστὴς λέγων «εὐπτόητον ἡ τῶν παρθένων ἡλικία, μάλιστα δὲ πρὸς πολιορκίαν». Ἐκ στίχ. 244 καὶ 251 ἐξάγεται, ὅτι ὁ χορὸς παρερχόμενος εἰς τὴν σκηνὴν (94) κατέρχεται εἶτα μετὰ στίχ. 251 εἰς τὴν ὀρχήστραν. Ὅθεν τὰ ἀγάλματα τῶν θεῶν ὀφείλομεν νὰ διανοηθῶμεν πρὸ τῶν ἀνακτόρων (ἐν τῷ πρὸς τὸ βάθος τῆς σκηνῆς τοίχῳ).

78. *θρέομαι*] τεταραγμένος βοῶ,

Digitized by Google

μεθεῖται στρατός· στρατόπεδον λιπὼν
ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας· 80
αἰθερία κόνις με πείθει φανεῖσ',
ἄναυδος σαφὴς ἔτυμος ἄγγελος.
2. ἰδὲ δὲ γᾶς ἐμᾶς πεδί' ὁπλόκτυπ' ὠ-
τὶ χρίμπτει βοάν· ποτᾶται, βρέμει δ'
ἀμαχέτου δίκαν ὕδατος ὀροτύπου. 85

Ἡσύχ. «θρεομένη, θρηνοῦσα» ἐξ Εὐρ. Μηδ. 50 αὐτὴ θρεομένη σαυτῇ κακά. Ὁ Δινδόρφιος εἰκάζων πρὸ τοῦ θρέομαι νεόκοτα (= νέα, πρβ. σημ. εἰς Πέρσ. 260) ἀποτελεῖ δύο δοχμίους, ὁ δὲ Prien ὀρόμενα.

79. μεθεῖται, ἀπολύεται. Σχολ. «ἀφεῖται ὁ ὄχλος ἀπὸ τοῦ στρατοπέδου· ταῦτα δὲ φανταζόμεναι λέγουσιν ὡς ἀληθῆ».

80 κέ. ῥεῖ πολύς, ὥς τις τὰς ὄχθας αὐτοῦ ὑπερβὰς ποταμός. Πρβ. Σοφ. Ἀντ. 129 ῥεύματι πολλῷ προσνισσομένους, Εὐριπ. Ἰφ. τῇ ἐ. Τ. 1437 ῥεῦμά τ' ἐξορμῶν στρατοῦ, Ῥήσ. 290 ῥέων στρατός, Τυρτ. ἀπόσπ. 12 ἐκδ. Bgk. στίχ. 21 αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης καὶ σημ. εἰς Πέρσ. 89 κέ. — πρόδρομος, ὁ ὁρμητικῶς ἐπερχόμενος καὶ προτροπάδην προελαύνων τοῦ πεζικοῦ (πρβ. στίχ. 89 κέ.) ἱππικὸς στρατὸς ἤτοι ὁ πρόσω ἀεὶ σπεύδων καὶ οὐδαμῶς ἐπιστρεφόμενος, ὥσπερ τἀνάπαλιν Σοφ. Ἀντιγ. 108 ἡ λέξις τιθεμένη ἐπὶ φυγῆς σημαίνει τὸν προτροπάδην ἀπελαύνοντα καὶ οὐδαμῶς πρὸς τὰ ὀπίσω ὁρῶντα ἐχθρόν, πρβ. καὶ κατωτέρω 195. — αἰθερία κόνις, ἡ ἐν τῷ αἰθέρι ἐγερθεῖσα κόνις πείθει με περὶ τοῦ ἐπερχομένου στρατοῦ, τοῦ αἰθερία ὄντος κατηγορουμένου τοῦ φανεῖσα. Πρβ. Ὁμ. Ἰλ. 11, 151 ὦρτο κονίη ἐκ πεδίου, τὴν ὥρσαν ἐρίγδουποι πόδες ἵππων, Ἡσιόδ. Ἀσπ. 61 χθόνα δ' ἔκτυπον ὠκέες ἵπποι νύσσοντες χηλῇσι, κόνις δέ σφ' ἀμφιδεδήει.

82. ἡ κόνις καλεῖται ἄγγελος ἄναυδος μὲν καὶ ἄφωνος, ἀλλ' ὅμως σαφὴς καὶ ἀληθής. Πρβ. σημ. εἰς 64, Ἱκέτ. 186 ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ καὶ Θέογνιν 559 καλοῦντα τὰ πυρὰ ἄγγελον ἄφθογγον.

83 κέ. Ἄκουσον, τὰ ταῖς ὁπλαῖς τῶν ἵππων πληττόμενα πεδία τῆς ἐμῆς χώρας ἐμποιοῦσιν τῷ ὠτί μου βοὴν ἀντηχοῦσαν, διαδιδομένην καὶ βρέμουσαν δίκην ἠχήεντος ὀρεινοῦ χειμάρρου. Ὁ Σχολ. σημειούμενος «καὶ τὰ τῆς γῆς δέ μου πεδία κατακτυπούμενα τοῖς ποσὶ τῶν ἵππων καὶ τῶν ὁπλῶν ποιεῖ μου προσπελάζειν τὸν ἦχον τοῖς ὠσίν» ἐκλαμβάνει τὸ ἰδὲ ἡμαρτημένως ὡς σύνδεσμον = ἠδέ. — πρὸς τὸ ὠτὶ χρίμπτει βοὰν παραβλητέον Προμ. 739 γοῦ' ἁλιστόνοις χρίμπτουσα ῥαχίαισιν. — βοὰ ποτᾶται, ὡς Ἱκέτ. 665 ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχά, Σοφ. Οἰδ. Τ. 1310 πᾶ μοι φθογγὰ διαπέταται (ἴσως πέτεται) φοράδην. — ὀροτύπου, Σχολ. «τοῦ καὶ ὄρη ῥηγνύντος», μᾶλλον δὲ τοῦ εἰς τὰς πέτρας τῶν ὀρέων ἀράσσοντος, ὡς ἐν χαράδρᾳ ἢ καταρράκτῃ (Σχολ. νεώτερος τοῦ κτύπον ἐν τῷ ὄρει ἐγείροντος τῇ φορᾷ), καὶ ἀντηχοῦντος. Τὸ ὕδωρ καλεῖται ἀμάχετον = ἄμαχον, ὡς ἐν Πέρσ. 90. Πρβ. καὶ Ὁμήρ. Ἰλ. 4, 452 ὡς δ' ὅτε

Digitized by Google

3. ἰὼ ἰὼ θεοὶ θεαί τ', ὄρμενον
κακὸν ἀλεύσατε.
4. [βοᾷ ὑπὲρ τειχέων]
ὁ λεύκασπις ὄρνυται λαὸς εὐ-
τρεπῆ ἐπὶ πτόλιν διώκων ⟨πόδα⟩. 90
5. τίς ἄρα ῥύσεται, τίς ἄρ' ἐπαρκέσει
θεῶν ἢ θεᾶν;
6. πότερα δῆτ' ἐγὼ ⟨πάτρια⟩ ποτιπέσω
βρέτη δαιμόνων;
7. ἰὼ μάκαρες εὔεδροι,

χείμαρροι ποταμοὶ κατ' ὄρεσφι ῥέοντες ἐς μισγάγκειαν συμβάλλετον ὄμβριμον ὕδωρ κρουνῶν ἐκ μεγάλων, κοίλης ἔντοσθε χαράδρης, τῶν δέ τε τηλόσε δοῦπον ἐν οὔρεσιν ἔκλυε ποιμήν.

86. ὄρμενον κακόν, τὴν ἐγειρομένην κακοῦ θύελλαν ἀποτρέψατε.

88. βοᾷ ὑπὲρ τειχέων ἑρμηνεύουσιν «σὺν (πολεμικῇ) βοῇ ὑπερβαλλούσῃ τὰ τείχη» παραβάλλοντες Ὅμ. Ἰλ. 12, 289 τὸ δὲ τεῖχος ὑπὲρ πᾶν δοῦπος ὀρώρει. Πιθανῶς ὅμως προσγεγραμμέναι αἱ λέξεις «βοᾷ ὑπὲρ τειχέων» τῷ ποτᾶται (στίχ. 84) εἰσείρπυσαν εἶτα ἐκ τῆς ᾠδῆς εἰς τὸ ἔδαφος ἐν τῇ μεταγραφῇ «βοᾷ ὑπὲρ τειχέων», διότι τό, ὑπὲρ τειχέων, δυσκόλως συνάπτεται ἐπιθετικῶς τῷ βοᾷ.

89 κέ. λεύκασπις καλεῖται παρὰ τοῖς τραγικοῖς ὁ στρατὸς τῶν Ἀργείων, οἷον Σοφ. Ἀντιγ. 106 τὸν λεύκασπιν Ἀργόθεν φῶτα βάντα, 114 λευκῆς χιόνος πτέρυγι στεγανός, Εὐριπ. Φοιν. 1099 λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν. Σημειωτέον δέ, ὅτι μνημονεύσας πρὶν (80 κέ.) τὸν πρόδρομον ἱππότην λεὼν τῶν Ἀργείων μνημονεύει νῦν τοὺς πεζούς. — εὐτρεπῆ (ἕτοιμον, παρεσκευασμένον) κατὰ μεταφορὰν ἀπὸ τοῦ προσώπου εἰς τὸ μέρος τοῦ σώματος, ὡς πόδα πορθήτορα Ἀγ. 893, πόδα παρθένιον, γέροντι ποδί, παρθένῳ χερὶ παρ' Εὐριπίδῃ. — πόδα διώκων, ταχέως κινῶν, ἴδε σημ. εἰς Πέρσ. 84 κέ.

91 κέ. ἄρα, τούτων οὕτως ἐχόντων. Πρβ. σημ. εἰς Πέρσας 147. — ἐπαρκέσει, βοηθήσει. — πότερα .. δαιμόνων; Σχολ. «πότερον πρόσφυγες τῶν πατρῴων ξοάνων γενώμεθα ἢ ἄλλο τι πράξωμεν;» Ἐκ τοῦ χωρίου τούτου τοῦ Σχολιαστοῦ ἀνεπληρώθη τὸ πρὸς ἀποτέλεσιν τοῦ δευτέρου δοχμίου ἀναγκαῖον πάτρια. Ἄνευ μεθεπομένου ἢ κεῖται πότερα καὶ Πέρσ. 242 καὶ Ἀγ. 286. Ἐνταῦθα παραλείπεται τὸ δεύτερον μέρος τῆς ἐρωτήσεως, διότι ἡ ἐφεξῆς παρθένος ὑπολαβοῦσα καθομολογεῖ τὴν πρώτην ἐρώτησιν. Ἐκ τούτων καθίσταται συμφανές, ὅτι οὐχὶ ὀρθῶς συνάπτοντες τὸ πότερα τῷ βρέτη καὶ ἑρμηνεύοντες ποῖα ἀγάλματα θεῶν (θεῶν ἢ θεαινῶν;) παραβάλλουσι Εὐριπ. Ἀνδρ. 860 τίνος ἀγαλμάτων ἱκέτις ὁρμάθω;

94. εὔεδροι, οἱ ἔχοντες λαμπροὺς τόπους = βωμούς (ὥσπερ ἕδραι καὶ ἕδη λέγεται περὶ ναῶν καὶ βωμῶν μετὰ ἀγαλμάτων, πρβ. σημ. εἰς Πέρσ. στ. 407), καὶ διὰ τὰς ἀπονεμομένας αὐτοῖς τιμὰς καὶ τὴν λατρείαν διαμένοντες ἵλεοι καὶ μὴ καταλείποντες τὴν πόλιν ἐν κινδύνῳ, ἐν ᾗ ἐγνοίᾳ ἀπαντᾷ κατωτέρω 306.

Digitized by Google

ἀκμάζει βρετέων ἔχεσθαι. τί μέλ- 95
λομεν ἀγάστονοι;
8. ἀκούετ' ἢ οὐκ ἀκούετ' ἀσπίδων κτύπον;
9. πέπλων καὶ στεφέων,
εἰ μὴ νῦν, πότ' ἀμφὶ λιτάν' ἕξομεν;
10. κτύπον δέδορκα· πάταγος οὐχ ἑνὸς δορός. 100

95. ἀκμάζει, ἀκμὴ καὶ καιρός ἐστι, ὡς Χοηφ. 722. Πρβ. σημ. εἰς Πέρσας 410. — ἔχεσθαι, ἅπτεσθαι, περιπτύσσεσθαι ('Ησύχ. ἔχεται· ἀντιλαμβάνεται). Πρβ. Σοφ. Αἴ. 1181 ἀλλὰ προσπεσὼν ἔχου, Εὐριπ. Ἑκ. 398 ὁποῖα κισσὸς δρυὸς ὅπως τῆσδ' ἕξομαι, Ἀνδρομ. 115 πρὸς τόδ' ἄγαλμα θεοῦ ἱκέτις περὶ χεῖρε βαλοῦσα. — τί . . ἀγάστονοι; Σχολ. «τί ἑστῶτες (μᾶλλον ἑστῶσαι) στενάζομεν καὶ οὐχ ἱκετεύομεν;» Τὸ σχῆμα τῆς ἐρωτήσεως στίχ. 97 ἀκούετ' ἢ οὐκ ἀκούετ'; δηλοῖ τὸ σφοδρὸν καὶ ἀνυπόμονον τοῦ ἐρωτῶντος. Πρβ. σημ. εἰς στίχ. 184.

99. πότ' εἰ μὴ νῦν. Ὁμοίως Ἀριστοφ. Σφηξ. 402 πότε δ' εἰ μὴ νῦν, ἐπαρήξετέ μοι; Γνωστὸν δὲ παντί, ὅτι παρὰ τῷ Δημοσθένει εἶναι συχνὴ ἡ ῥῆσις αὕτη πρὸς ἐξότρυνσιν τῶν Ἀθηναίων ἐναντίον τοῦ Φιλίππου. — λιτανὰ πέπλων καὶ στεφέων ἀμφέξομεν = πότε, εἰ μὴ νῦν, ἐνδύσομεν τὰ ἀγάλματα τῶν θεῶν λιτανευτικοὺς πέπλους καὶ στεφάνους, οὓς κομίζομεν μεθ' ἡμῶν αὐτῶν ὡς ἱκετήρια δῶρα; Πρὸς τὸ ἀμφέξομεν (μέλλοντα τοῦ ἀμπέχω, ἀμπίσχω) πρβ. Εὐριπ. Κυκλ. 344 λέβητα . . ὃς ζέσας σὴν σάρκα διαφόρητον ἀμφέξει καλῶς. — Τὸ ἐπίθετον λιτανὸς (= λιτανευτικὸς) ἀπαντᾷ καὶ Ἱκέτ. 817 μέλη λιτανὰ θεοῖσι, λιτανὰ δὲ πέπλων (= λιτανοὺς πέπλους) εἴρηται, ὡς Σοφ. Οἰδ. ἐ. Κ. 923 φωτῶν ἀθλίων ἱκτήρια, Ἀντιγ. 1209 ἄσημα βοῆς, 1265 ὦμοι ἐμῶν ἄνολβα βουλευμάτων, Εὐριπ. Φοιν. 1486 ἁβρὰ παρηΐδος. Ὁ Δινδόρφιος ἐκλαμβάνει τὸ λιτανὰ τεθὲν ἀντὶ οὐσιαστικοῦ καὶ ῥηθὲν ἀντὶ λιτάς, τότε δὲ ἡ γενικὴ πέπλων καὶ στεφέων θὰ ἦτο γενικὴ τῆς ὕλης σημαίνουσα, λιτὰς ἐκ πέπλων καὶ στεφέων. Σχολ. «ἐνέδυον γὰρ καὶ πέπλους τὰ ἀγάλματα». Περὶ τῆς συνηθείας τῶν ἀρχαίων τοῦ ἐνδύειν τὰ ἀγάλματα πρβ. Ὁμήρ. Ἰλ. 6, 271 πέπλον δ' ὅστις τοι χαριέστατος ἠδὲ μέγιστος ἔστιν ἐνὶ μεγάρῳ καί τοι πολὺ φίλτατος αὐτῇ, τὸν θὲς Ἀθηναίης ἐπὶ γούνασιν ἠυκόμοιο (πρβ. καὶ στίχ. 270 κέ. αὐτόθι), ἐπὶ δὲ τῶν Παναθηναίων ἤγετο εἰς τὸ ἱερὸν τῆς Παλλάδος ὁ πέπλος τῆς θεᾶς.

100. *δέδορκα*] Σχολ. «μετήγαγε τὰς αἰσθήσεις πρὸς τὸ ἐναργέστερον». Τῇ τολμηρᾷ ταύτῃ μετωνυμίᾳ τοῦ δέδορκα ἀντὶ ἀκήκοα ἀναλογεῖ ἡ μεταφορὰ τῆς λάμψεως καὶ τοῦ φωτὸς ἐπὶ τῆς φωνῆς. Πρβ. Εὐμ. 572 σάλπιγξ . . γήρυμα . . φαινέτω, Σοφ. Φιλ. 202 προυφάνη κτύπος καὶ σημ. εἰς Πέρσ. 398. — οὐχ ἑνός, ἀλλὰ πολλῶν. Περὶ τοῦ σχήματος τούτου τῆς λιτότητος πρβ. Εὐριπ. Ἱκέτ. 105 οὐχ ἕνα ῥυθμὸν κακῶν ἐχούσας, Σοφ. Οἰδ. Τ. 122 λῃστὰς . . οὐ μιᾷ ῥώμῃ κτανεῖν νιν (Λάϊον), ἀλλὰ σὺν πλήθει χερῶν, Εὐριπ. Μηδ. 948 εὐδαιμονήσει δ' οὐχ ἕν, ἀλλὰ μυρία. Ὡσαύτως non unus = permulti παρὰ Λατίνοις, οἷον Iuven. 3, 151, 6, 218, 8, 213.

Digitized by Google

11. τί ῥέξεις; προδώσεις,
παλαίχθων Ἄρης, τὰν τεὰν γᾶν;
12. ἰὼ χρυσοπήληξ, ἔπιδ' ἰδὲ πόλιν
⟨τεάν⟩, ἅν ποτ' εὐφιλήταν ἔθου. 105

1. θεοὶ πολίοχοι χθονός, ἴθ' ἀθρόοι, στροφ.
ἴδετε παρθένων
ἱκέσιον λόχον δουλοσύνας ὕπερ.
κῦμα περὶ πτόλιν δοχμολοφᾶν ἀνδρῶν

101. προδώσεις, ἀφήσεις ἀπροστάτευτον καὶ ἔρημον κατὰ τὴν προσβολὴν τῶν ἐχθρῶν;

102. παλαίχθων Ἄρης. Σχολ. «ἐκ πολλοῦ κληρωσάμενος τήνδε τὴν γῆν· τιμᾶται γὰρ παρὰ Θηβαίοις ὁ Ἄρης καὶ Ἄρειον τεῖχος καὶ Ἀρητιὰς κρήνη παρὰ αὐτοῖς». Ὁ δράκων, ὃν ἐφόνευσεν ὁ Κάδμος, ἦτο υἱὸς τοῦ Ἄρεως (Εὐριπ. Φοιν. 658), ἡ δὲ σύζυγος τοῦ κτίστου τῶν Θηβῶν Κάδμου Ἁρμονία ἦτο θυγάτηρ τοῦ Ἄρεως καὶ τῆς Ἀφροδίτης (Ἡσιόδ. Θεογ. 933 κέ.). Πρβ. σημ. εἰς στίχ. 125 κέ. καὶ 410.

103. ἰὼ χρυσοπήληξ, ὁ Ἄρης λέγεται ἔχων χρυσῆν περικεφαλαίαν καὶ Ὕμν. Ὁμηρ. 8, 1 Ἄρες ὑπερμενέτα, βρισάρματε, χρυσεοπήληξ. Πρβ. Καλλιμ. Ὕμν. 5, 43 ἔξιθ' Ἀθηναία περσέπτολι, χρυσεοπήληξ. ἔτι δὲ καὶ Εὐρ. Φοιν. 939, ἔνθα οἱ σπαρτοὶ καλοῦνται χρυσοπήληκες. — Πρὸς τὸ ἔπιδ' ἰδὲ πρβ. Εὐρ. Μηδ. 1252 κατίδετ' ἴδετε, Ἀλκ. 400 ὑπάκουσον ἄκουσον, Ἑκ. 168 ἀπωλέσατ' ὠλέσατε, Ὀρ. 181 διοιχόμεθ' οἰχόμεθα, 1465 ἀνίαχεν ἴαχεν, 1548 ἐπέπεσεν ἔπεσεν. Σχολ. «ἠθικὸν τὸ δὶς ἀναφωνῆσαι· δειλίαν γὰρ ἐμφαίνουσι διὰ τούτου». Ἀλλ' ὅμως ἡ ἐπανάληψις ἐπιτείνει μόνον τὴν παράκλησιν, ὡς πίθεσθέ μοι, πίθεσθε Προμ. 290, δίαινε δίαινε Πέρσ. 1039, ἔγειρ' ἔγειρε Εὐμ. 140, ὅρα ὅρα 254.

105. εὐφιλήτην· περὶ τοῦ τύπου ἴδε σημ. εἰς Πέρσ. 599, περὶ δὲ τῆς ἐννοίας κατωτέρω 125.

106—133. Δεύτερον μέρος τοῦ χορικοῦ ᾄσματος ἀπαγγελλόμενον ὑπὸ τῶν τριῶν στοίχων. Ἕκαστον κῶλον ἀπολήγει χαρακτηριζόμενον διὰ τοῦ ῥυθμοῦ ⏑ ⏓ — ⏑ ⏑ — ⏑ — ⏑ (112, 116, 119 = 126, 130, 133). Ἐν τῇ στροφῇ γίγνεται ἐπίκλησις ἀθρόων τῶν θεῶν καὶ τοῦ Διός, ἐν τῇ ἀντιστροφῇ τῶν ἰδιαιτέρων πολιούχων τῆς χώρας, Ἀθηνᾶς καὶ Ποσειδῶνος, Ἄρεως καὶ Ἀφροδίτης, Ἀπόλλωνος καὶ Ἀρτέμιδος. Παραδόξως δὲ ἐν τοῖς θεοῖς δὲν μνημονεύεται ὁ Βάκχος, ὁ κατ' ἐξοχὴν τιμώμενος ἐν Θήβαις, ὡς ἐμφαίνεται ἐν Σοφ. Ἀντιγ. 153 καὶ Εὐριπ. Βάκχ. 225, 366, 529 καὶ ἀλλαχοῦ.

106. πολίοχοι, τοῦ μέτρου χάριν ἀντὶ πολιοῦχοι (πολισσοῦχοι).

108. ἱκέσιον ὑπὲρ δουλοσύνης, ἴδετε λόχον παρθένων ἱκετεύοντα (ἱκέσιον κατηγορούμενον) ὑπὲρ ἀποτροπῆς τῆς δουλοσύνης. Πρβ. Σοφ. Οἰδ. Τ. 187 ὧν ὕπερ . . εὐῶπα πέμψον ἀλκάν, αὐτόθι 185 λυγρῶν πόνων ἱκετῆρες.

109 κέ. κῦμα ἀνδρῶν, ὡς κῦμα φωτῶν 1069. Πρβ. Πέρσ. 91. — δοχμολοφᾶν: Σχολ. «ἐπινευόντων τοῖς λόφοις· ἐν γὰρ τῇ κινήσει συμβαίνει πλαγιάζεσθαι τοὺς λόφους· ἢ τῶν

Digitized by Google

καχλάζει πνοαῖς Ἄρεος ὁρμενον. 110
ἀλλ', ὦ Ζεῦ, πάντως, πάτερ παντελές,
ἄρηξον δαΐων ἅλωσιν.

2. Ἀργεῖοι δὲ πόλισμα Κάδμου
κυκλοῦνται· ψόφος δ' ἀρείων ὅπλων.
διάδετοι δέ τοι γενῦν ἱππιᾶν 115
μινύρονται φόνον χαλινοί.

3. ἑπτὰ δ' ἀγάνορες πρέποντες στρατοῦ
δορυσσῷ σαγᾷ πύλαις ἑβδόμαις
προσίστανται πάλῳ λαχόντες.

1. σύ τ', ὦ Διογενὲς φιλόμαχον κράτος, ἀντ.

κορυθαιόλων. Ὅμηρος "κορυθαίολος Ἕκτωρ". τὸ γὰρ κινούμενον κράνος δόχμιον τῇδε κἀκεῖσε γίγνεται». Ἡ λέξις εἶναι λίαν πλαστικὴ καὶ τὰ μάλιστα ἁρμόζουσα τῇ εἰκόνι τοῦ κύματος. — καχλάζει. Σχολ. «καχλάζει οὐ βορέου ἢ νότου πνοῇ, ἀλλὰ τῇ τοῦ Ἄρεως». Πρβ. 63.

111 κέ. πάντως, συνάπτεται τῷ ἄρηξον (= βοηθῶν ἀπότρεψον). — παντελές, Σχολ. «πάντων ἔχων τέλος». Πρβ. 152, Ἀγ. 964 Ζεῦ Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει, 1496 διαὶ Διὸς παναιτίου πανεργέτα· τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται; Ὁ Παυσανίας 8, 48, 4 μνημονεύει καὶ βωμὸν Διὸς τελείου παρὰ τοῖς Τεγεάταις. — Σχολ. «πάντως καὶ ἡμῖν βοήθησον, ὥστε μὴ ὑπὸ τῶν πολεμίων ἅλωσιν γενέσθαι». Πρὸς τὸ ἄρηξον πρβ. Εὐριπ. Ἡρακλεῖδ. 840 οὐκ ἀρήξετ' αἰσχύνην πόλει; Μηδ. 1275 ἀρῆξαι φόνον δοκεῖ μοι τέκνοις.

114. ψόφος, δηλ. ἐστί. Πρβ. 146. Ἐκ τῆς κλαγγῆς τῶν ὅπλων εἰκάζει ὁ χορὸς τὸ προειρημένον.

115 κέ. γενῦν ἀντὶ γενύων, ὡς Ἐρινῦν ἀντὶ Ἐρινύων Εὐριπ. Ἰφ. τ. ἐ. Τ. 931, 970, 1456. Οἱ ταῖς ἱππικαῖς γνάθοις προσδεδεμένοι χαλινοὶ πενθίμως κλαυθμηρίζουσι φόνον ἤτοι διὰ κλαυθμηρᾶς καὶ μινυριζούσης κλαγγῆς προλέγουσι φόνον. Ὅθεν ὁ Ἡσύχ. «μινύρονται· προφωνοῦσι, προλέγουσι». Πρβ. 373 καὶ Προμ. 371 σμερδναῖσι γαμφηλαῖσι συρίζων φόβον.

117 κέ. πρέποντες .. σαγᾷ, ἐξέχοντες ἐν τῷ στρατῷ διὰ τῆς πολεμικῆς αὐτῶν παρασκευῆς. Περὶ τοῦ πρέπειν ἴδε σημ. εἰς Πέρσας 250. — δορυσσῷ σαγᾷ (ὡς φεράσπιδες σαγαὶ Πέρσ. 243, ἔνθα ἴδε τὰ γεγραμμένα), δοριπάλτῳ ὁπλίσει, δόρασι παλλομένοις. Πρβ. Εὐριπ. Ἡρακλεῖ 188 τοξήρη σαγήν. — πύλαις ἑβδόμαις ἀντὶ πύλαις ἑπτά, ὡς δεκάτους = δέκα Ὅμ. Ἰλ. 8, 404 οὐδέ κεν ἐς δεκάτους περιτελλομένους ἐνιαυτοὺς ἕλκε' ἀπαλθήσεσθον. Πρβ. Θωμ. Μαγ. «ἑβδόμη· οὐ μόνον ἡ μετὰ τὰς ἓξ μονάδας μονάς, ἀλλὰ καὶ ἅπας ὁ ἑπτὰ ἀριθμός. Αἰσχύλος ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας».

120 κέ. κράτος ἀντὶ ἐπιθέτου κείμενον, ὡς Ἀγ. 110 Ἀχαιῶν δίθρονον κράτος, 624 τῆσδε γῆς φίλον κράτος, Εὐμ. 27 Ποσειδῶνος κράτος, Εὐριπ. Ὀρ. 1299 ὦ Διὸς ἀέναον κράτος. Πρβ. Πέρσ. 287 καὶ κατωτέρω σημ. εἰς 169 καὶ

Digitized by Google

ῥυσίπολις γενοῦ, 121
Παλλάς, ὅ θ' ἵππιος ποντομέδων ἄναξ,
ἰχθυβόλοις μάχαν ἀποσοβῶν κέντροις
ἐπίλυσιν φόνων, ἐπίλυσιν δίδου.
σύ τ', Ἄρης, φεῦ φεῦ, κηδείαν πόλιν 125
φύλαξον κήδεσαί τ' ἐναργῶς.
2. καὶ Κύπρις, ἅτε γένους προμάτωρ,
ἄλευσον· σέθεν γὰρ ἐξ αἵματος
γεγόναμεν· λιταῖσί σε θεοκλύτοις

640. — ῥυσίπολις, πρβ. Ὁμ. Ἰλ. 6, 305 πότνι' Ἀθηναίη, ῥυσίπτολι, δῖα θεάων.

122. ὅ τε . . . ἄναξ, κεῖται ἀντὶ κλητικῆς, ὡς Ἀγ. 514 νῦν χαῖρε μὲν χθών, χαῖρε δ' ἡλίου φάος, ὕπατός τε χώρας Ζεὺς ὁ Πύθιός τ' ἄναξ, Σοφ. Αἴ. 861 ὦ πατρῷον ἑστίας βάθρον κλειναί τ' Ἀθῆναι καὶ τὸ σύντροφον γένος, Φιλ. 986 ὦ Λημνία χθὼν καὶ τὸ παγκρατὲς σέλας. Πρβ. σημ. εἰς Πέρσ. 159. — ἵππιος (ἵππειος) ἐκαλεῖτο ὁ Ποσειδῶν ὡς δημιουργὸς τοῦ ἵππου ἢ ὡς εὑρετὴς τῆς ἱππικῆς. Πρβ. Σοφ. Οἰδ. ἐ. Κ. 714, Παυσαν. 7, 21, 8, Festus ἐν λέξει Hippius καὶ Ἡσύχ. λέξ. ἵππειος Ποσειδών: «φυσικῶς φασι· διὰ τὸ λέγειν τὸν ποιητήν· αἵθ' ἅλὸς ἵπποι ἀνδράσι γίγνονται (Ὀδ. 4, 708) ἢ κατὰ τὸν μῦθον, ὅτι ἵππους ἐγέννησε Ποσειδῶν, Ἀρίωνα Σκύφιον Πήγασον».

123. Τοῖς τοὺς ἰχθῦς διατρυπῶσι κέντροις ἤτοι τῇ τριαίνῃ ἀποσοβῶν τὸν πολεμικὸν ὁρυμαγδόν. Ἡσύχ. «ἰχθυόκεντρον· τρίαιναν». Ὁ θεὸς ἱκετεύεται νὰ παράσχῃ βοήθειαν διὰ τοῦ ἰδιάζοντος αὐτῷ ὅπλου. Οὕτω καὶ Σοφ. Οἰδ. Τ. 202 κέ. παρακαλεῖται νὰ βοηθήσῃ ὁ μὲν Ζεὺς τῷ κεραυνῷ, ὁ δ' Ἀπόλλων τῷ τόξῳ, ἡ δ' Ἄρτεμις καὶ ὁ Διόνυσος τοῖς πυρσοῖς.

124. ἐπίλυσιν φόνων ἐπίλυσιν δίδου, συνήθης τρόπος ἐπαναλήψεως καὶ μάλιστα ἐν τῷ δοχμιακῷ μέτρῳ. Πρβ. 156 κέ. κλύετε παρθένων κλύετε πανδίκως χειροτόνους λιτάς, 770 κέ., 887 κέ., Χοηφ. 156 κλύε δέ μοι σέβας, κλύ' ὦ δέσποτ', ἐξ ἀμαυρᾶς φρενός, Εὐριπ. Ἱππ. 836 το κατὰ γᾶς θέλω, τὸ κατὰ γᾶς κνέφας μετοικεῖν.

125 κέ. Ἡ ἐπιφώνησις φεῦ φεῦ ἀναφέρεται εἰς τὴν διττὴν σημασίαν τοῦ κηδείαν, δηλοῦντος οὐ μόνον τὴν συγγενῆ, ὅπερ κυρίως σημαίνεται ἐνταῦθα, ἀλλὰ καὶ τὴν τῷ πένθει περιπεσοῦσαν, τὴν τῷ ὀλέθρῳ καθωσιωμένην πόλιν. Τὴν ὁμοίαν διττὴν ἔννοιαν ἔχει ἡ λέξις κῆδος Ἀγ. 702. — κήδεσαι ἐναργῶς, Σχολ. «κηδεστὴς ἐναργῶς γενοῦ. Ἁρμονίαν γὰρ τὴν Ἀφροδίτης καὶ Ἄρεως εἶχεν Κάδμος. Φρόντισον ἡμῶν καὶ τῆς πόλεως ἐναργῶς». Πρβ. σημ. εἰς 8 κέ.

127 κέ. ἥτε, ὡς 738, 1047. Πρβ. σημ. εἰς Πέρσ. 300. — προμάτωρ (δηλ. εἶ), ὡς μήτηρ τῆς Ἁρμονίας (126) εἶναι ἡ Ἀφροδίτη ἀρχηγέτις τοῦ Καδμείου γένους. — ἄλευσον, ἄλεξον, ὡς 87. — σέθεν ἐξ αἵμ. = ἐκ τοῦ σοῦ αἵματος. Πρβ. Ὁμ. Ἰλ. 6, 210 ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι.

129 κέ. λιταῖσι θεοκλύτοις, ἱκετευτικαῖς ἐπικλήσεσι τῶν θεῶν. — ἀῦτεῖν, ἐπικαλεῖσθαι, ὡς Εὐριπ. Ἱππ. 167.

Digitized by Google

ἀϋτοῦσαι πελαζόμεσθα. 130

3. καὶ σύ, Λύκει' ἄναξ, Λύκειος γενοῦ
στρατῷ δαΐῳ στόνων ἀντίτας.
σύ τ', ὦ Λατωίς, εὐτυκάζου.

1. ἔ ἔ ἔ ἔ, στροφ.
ὄτοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω. 135
ὦ πότνι' Ἥρα,
ἔλακον ἀξόνων βριθομένων χνόαι.

131 κέ. Ὡς ὁ Σοφοκλῆς Ἠλ. 6 τοῦ λυκοκτόνου θεοῦ ἀγορὰ Λύκειος, οὕτω καὶ ὁ Αἰσχύλος παράγει ἐνταῦθα τ' ἐπώνυμον τοῦ Ἀπόλλωνος παρὰ τὸ λύκος ἐν τῇδε τῇ ἐννοίᾳ· γενοῦ τῷ στρατῷ τῶν πολεμίων λύκειος τιμωρὸς τῶν ἡμετέρων στεναγμῶν, ἤτοι φθεῖρον αὐτούς, ὥσπερ ἔφθειράς ποτε τοὺς λύκους (περὶ τῆς ὑπὸ τοῦ Ἀπόλλωνος ἐν Σικυῶνι ἀπαλλαγῆς τῶν ποιμνίων ἀπὸ τῶν λύκων βλ. Παυσ. 2, 9, 7 καὶ Preller, Gr. Myth. τόμ. 1, σελ. 252 κέ., ἐκδ. 4ας), μᾶλλον δὲ ἐπιπίπτων φοβερὸς ὡς λύκος. Σχολ. «ὥσπερ λύκος αὐτοῖς ἐφόρμησον ἀνθ' ὧν ἡμεῖς νῦν θρηνοῦμεν». Πρβ. Ὁρατ. ἐπιστ. 2, 2, 28 vehemens lupus, et sibi et hosti iratus pariter. Ἑτέρας αἰτίας τῆς τοῦ θεοῦ ἐπωνυμίας μνημονεύει ὁ νεώτ. Σχολ. «Λύκειόν φασι τὸν Ἀπόλλωνα ἢ διὰ τὸ ἐν τῇ Λυκίᾳ τῇ πόλει τιμᾶσθαι αὐτὸν ἢ διὰ τὸ ἀνατίθεσθαι λύκον ὡς ἱερὸν ἢ διὰ τὸ λύκους ἀνελεῖν· ἢ ὅ γε κρεῖττόν ἐστι, διὰ τὸ λυκόφως ποιεῖν, τῆς νυκτὸς ἀποχωρησάσης». — ἀντίτης, ἐνεργητικὸν τοῦ ἄντιτος σημαῖνον ἄντιτα ἔργα τελῶν (Ὁμ. Ὀδ. 17, 51), ἐκδικητής. Πρβ. τίτας Χοηφ. 65.

133. Λατωίς, Λητωὶς ὀνομάζεται ἡ Ἄρτεμις (Λητῴα κόρη ἀποσπ. 170) καὶ παρ' Ἀπολλωνίῳ τῷ Ῥοδίῳ καὶ ἄλλοις. — εὐτυκάζου, ἑτοιμάζου κατὰ τῶν πολεμίων λαβοῦσα τὸ τόξον.

134—150. Τρίτον μέρος ἀπαγγελλόμενον ὑπὸ τῶν δύο ἡμιχορίων. Τὸ τάρβος τῶν παρθένων αὐξάνεται ἀκουουσῶν τὸν κτύπον τῶν ἁρμάτων, τὴν κράδανσιν τῶν δοράτων, τὰς λιθοβολίας κατὰ τῶν ἐπάλξεων, τὸν κόναβον τῶν πλησσομένων ἀσπίδων. Αἱ δεήσεις αὐτῶν πρὸς τοὺς θεοὺς ἐπιτείνονται διηνεκῶς.

137. ἔλακον . . χνόαι, ὡς 188 περὶ τοῦ συριγμοῦ, ὅστις δια τῆς προστριβῆς τῶν χνοῶν ἐν τῇ σύριγγι τοῦ ἄξονος (καλουμένῃ καὶ χοινικίδι) παράγεται. Ἡσύχ. «χνόαι αἱ χοινικίδες, αἱ τοῦ ἄξονος σύριγγες», ὀρθότερον ὁ Σχολ. «χνόαι τὰ ἀκραξόνια, περὶ ἃ αἱ χοινικίδες οἱ παραξονῖται λεγόμενοι». Σημαίνει τοίνυν ἡ λέξις χνόη τὸ ἄκρον ἐκεῖνο τοῦ ἄξονος, ὅπερ ἐντίθεται τῇ χοινικίδι, τῇ παρ' Ὁμήρῳ καλουμένῃ πλήμνῃ (Μ. Ε. 676, 38 ἅς [δηλ. πλήμνας] ἔνιοι χοινικίδας καλοῦσιν, εἰς ἃς ὁ ἄξων ἐνστρέφεται). Ἡ περιφέρεια τοῦ τροχοῦ καλουμένη ἴτυς καὶ περιβαλλομένη ὑπὸ μεταλλίνης στεφάνης (καλουμένης ἐπισώτρου) ἑνοῦται τῇ πλήμνῃ ἤτοι τῷ ὀμφαλῷ τοῦ τροχοῦ διὰ τῶν κνημνῶν αὐτοῦ, αἵτινες οὖσαι ὀκτὼ τὸν ἀριθμὸν καλοῦνται ὀκτάκνημα Ὁμ. Ἰλ. 5, 722. Πρβ. Σοφ. Ἠλ. 745 ἔθραυσε δ' ἄξονος μέσας χνόας. — βριθομένων (βαρυνομένων, πιεζομένων ὑπὸ τοῦ βάρους), διότι ὁ τριγμὸς

Digitized by Google

2. ἔ ἔ ἔ ἔ,
Ἄρτεμι φίλα,
δοριτίνακτος αἰθὴρ ἐπιμαίνεται. 140
τί πόλις ἄμμι πάσχει, τί γενήσεται;
ποῖ δ' ἔτι τέλος ἐπάγει θεός;

1. ἔ ἔ ἔ ἔ, ἀντ.
ἀκροβόλων ἐπάλξεων λιθὰς ἔρχεται.
ὦ φίλ' Ἄπολλον, 145
κόναβος ἐν πύλαις χαλκοδέτων σακέων.
2. ⟨ἔ ἔ ἔ ἔ⟩,
παῖ Διός, ὅθεν
πολεμόκραντον ἀγνὸν τέλος ἐν μάχᾳ,
σύ τε, μάκαιρ' ἄνασσ', Ὄγκα ἑδρὶς πύλαις,

προέρχεται ἐκ τούτου, ὅτι τὸ βάρος τοῦ ἅρματος (δίφρου) ἐπερείδεται τῷ ἄξονι. Πρβ. Ὅμ. Ἰλ. δ, 838 μέγα δ' ἔβραχε φήγινος ἄξων βριθοσύνῃ, Καλλιμ. ὕμν. 14 συρίγγων αἶω φθόγγον ὑπαξονίων.

140. Ὁ ὑπὸ τοῦ παλλομένου δόρατος πληττόμενος ἀὴρ ἠχεῖ πρὸς τῷ τριγμῷ (137) τῶν ἁρμάτων, τῆς ἐπὶ (ἐν τῷ ἐπιμαίνεται) σημαινούσης τὸ πλήν, προσέτι.

141. ἄμμι ἀντὶ ἡμῖν, ὡς ὔμμε ἀντὶ ὑμᾶς Εὐμ. 623, Σοφ. Ἀντ. 846. — τί πάσχει, τίνα παθήματα ἀναγκάζεται νὰ πάσχῃ ἡ πόλις ἡμῶν; — Ἐν τῷ, τί γενήσεται, ἐκδέχεται ὁ Elmsley ὡς ὑποκείμενον τὸ ἡ πόλις κατὰ 284 τί γένωμαι, ἀλλ' ὅμως φαίνεται φυσικωτέρα ἡ ἑρμηνεία· τί γενήσεται ἔτι;

142. ποῖ τέλος ἐπάγει· ἴδε σημ. εἰς Πέρσ. 737.

144. ἀκροβόλων (κατὰ τὸ ἄκρον βαλλομένων) ἐπάλξεων (ὡς κατωτέρω 285) ἐξήρτηται ἐκ τοῦ λιθὰς ἔρχεται, λιθοβολεῖται, ὡς ἐκ ῥήματος ἐπὶ σκοπὸν βάλλειν, στοχάζεσθαι, τοξεύειν. Οἱ λίθοι ῥίπτονται κατὰ τοῦ ὕψους τῶν τειχῶν, ἔνθα ἵστανται οἱ πρόμαχοι. Πρβ. Tac. Hist. 2, 22: altiora murorum saxis incessere, Caes. Bell. Gall. 2, 6: circumiecta multitudine hominum totis moenibus undique lapides in murum iaci coepti sunt, murusque defensoribus nudatus est. Πρὸς τὸ λιθὰς = πλῆθος λίθων, σωρὸς λίθων πρβ. νιφάς, φυλλάς, αἱμάς, Ὅμ. Ὀδ. 23, 193 πυκνῇσιν λιθάδεσσι. Περὶ τοῦ Σχολίου «ἀκροβολίζεσθαι ἐστὶ τὸ ἐν πολέμῳ συμβολῆς προκατάρχεσθαι» ἔπιθι Κριτ. ἐπισημ.

147 κέ. παῖ (δηλ. Ἄπολλον) Διός, ὅθεν .. μάχα, ἐξ οὗ (Διὸς) τοῦ πολέμου τὸ καλὸν καὶ αἴσιον τέλος κραίνεται, ἐξ οὗ ἡ νίκη δίδοται (Ζεὺς τροπαῖος).

149 κέ. Σχολ. «Ὄγκα ἡ Ἀθηνᾶ παρὰ Θηβαίοις· ἐπεύχεται δὲ τὴν ἐπιχώριον Ἀθηνᾶν, ὡς ὁ Θετταλὸς "Ζεῦ ἄνα Δωδωναῖε" (Ὅμ. Ἰλ. 16, 233) καὶ ὁ Λύκιος "κλῦθι ἄναξ, ὅς που Λυκίης" (αὐτόθι 514) καὶ ὁ Ἴλιος "Ζεῦ Ἰδηθεν μεδέων" (Ἰλ. 24, 308). Ὀγκαία Ἀθηνᾶ τιμᾶται παρὰ Θηβαίοις, Ὄγκα δὲ παρὰ

Digitized by Google

ἑπτάπυλον ἕδος ἐπιρρύου. 150

ἰὼ παναρκεῖς θεοί, στροφ.
ἰὼ τέλειοι τέλειαί τε γᾶς
τῆσδε πυργοφύλακες,
πόλιν δορίπονον μὴ προδῶθ'
ἑτεροφώνῳ στρατῷ. 155
κλύετε παρθένων κλύετε πανδίκως
χειροτόνους λιτάς.

ἰὼ φίλοι δαίμονες, ἀντ.
λυτήριοί τ' ἀμφιβάντες πόλιν
δείξαθ' ὡς φιλοπόλεις, 160
μέλεσθέ θ' ἱερῶν δημίων,
μελόμενοι δ' ἔλθετε·

τοῖς Φοίνιξιν . . Φοῖνιξ δὲ ἄνωθεν ὁ Κάδμος». Πρβ. Παυσ. 9, 12, 2 «Ὄγκα κατὰ γλῶσσαν τὴν Φοινίκων καλεῖται». Ἡ αὐτὴ οὖσα τῇ τῶν Ἀσσυρίων Ἀφροδίτῃ ἐπωνομάσθη διὰ τὴν πολεμικὴν φύσιν αὐτῆς Ἀθηνᾶ ὑπὸ τῶν Ἑλλήνων. — Ἡσύχ. «ἑδρίς· ἑδραῖος». Ἡ Ὄγκα Ἀθάνα ἔχουσα ἐν ταῖς πύλαις (ἐγγὺς τῆς πύλης) τὸ ἑαυτῆς ἕδος (474), παρακαλεῖται πλὴν τοῦ ἕδους (πρβ. σημ. εἰς 94) αὐτῆς νὰ φρουρήσῃ καὶ τὸ τῶν ἑπτὰ πυλῶν ἤγουν τὰς ἑπτὰ πύλας. — ἐπιρρύου ἔχει βραχὺ υ, ὡς 290, 809.

151—164. Τέταρτον μέρος ᾀδόμενον ὑπὸ σύμπαντος τοῦ χοροῦ ἐπικαλουμένου ἅπαξ ἔτι πάντας τοὺς θεοὺς εἰς προστασίαν τῆς χώρας.

151. παναρκεῖς, Σχόλ. «κατὰ πάντα βοηθοί», μᾶλλον δὲ παντοδύναμοι. Πρβ. Ἡσύχ. «παναρκές· ἰσχυρόν, παντοδύναμον». — τέλειοι, πρβ. σημ. εἰς 111.

154 κέ. Μὴ προδῶτε τὴν πόλιν δοριάλωτον (πρβ. δορὸς ἄγραν 309) ἑτεροφώνῳ στρατῷ. — ἑτεροφώνῳ, Σχολ. «τῷ μὴ βοιωτάζοντι· ἐπειδὴ δὲ Ἕλληνες καὶ οἱ Ἀργεῖοι, οὐκ εἶπεν βαρβαροφώνῳ». Οἱ μὲν Θηβαῖοι εἶχον αἰολικὴν διάλεκτον, οἱ δὲ Ἀργεῖοι δωρικήν. Πρβ. Χοηφ. 561 φωνὴν ἥσομεν Παρνησίδα, γλώσσης ἀῦτὴν Φωκίδος μιμουμένω. Πρβ. Εἰσ. σελ. 335 ἐν τέλει.

156 κέ. κλύετε, κλύετε, πρβ. σημ. εἰς στίχ. 124. — πανδίκως, πιστῶς, ὀρθῶς (πρβ. Εὐμ. 807 ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι), Σχολ. «τοῦτο δὲ τὴν ἐκ ψυχῆς ἱκετείαν δηλοῖ», οὐχὶ δέ, ὡς δίκαιόν ἐστι, κατὰ τὴν ἑρμηνείαν ἑτέρων, συναπτέον τῷ χειροτόνους. — χειροτόνους: ἡ λέξις ἀπὸ τοῦ προσώπου εἰς τὸ πρᾶγμα μετενήνεκται. Πρβ. Ὁμ. Ἰλ. 8, 347 χεῖρας ἀνίσχοντες μεγάλ' εὐχετόωντο ἕκαστος.

159. λυτήριοι, λύοντες καὶ ἀπαλλάττοντες. — ἀμφιβάντες, φρουρήσαντες, Σχολ. «παρὰ τὸ "ὃς Χρύσην ἀμφιβέβηκας" (Ὁμ. Ἰλ. 1, 37)».

160. φιλοπόλεις, ἐννοητέον ἐστέ.

161. ἱερῶν δημίων, Σχολ. «τῶν δημοσίων ἱερῶν».

162. ἔλθετε, ἔλθετε βοηθοί, ὡς Σοφ. Οἰδ. Τ. 167 τρισσοὶ ἀλεξίμοροι προφάνητέ μοι, εἴ ποτε . ., ἔλθετε καὶ νῦν.

Digitized by Google

φιλοθύτων δέ τοι πόλεος ὀργίων
μνήστορές ἐστέ μοι.

ΕΤΕΟΚΛΗΣ.

Ὑμᾶς ἐρωτῶ, θρέμματ' οὐκ ἀνασχετά, 165
ἢ ταῦτ' ἀρωγὰ καὶ πόλει σωτήρια,
στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ,
βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν
αὔειν, λακάζειν, σωφρόνων μισήματα;

163. φιλοθύτων ὀργίων· φιλόθυτος, ὁ ἀσμένως καὶ ἐκ συνηθείας θύων, ὁ φιλῶν τὰς θυσίας, μετενεχθείσης δὲ τῆς λέξεως ἀπὸ τοῦ προσώπου εἰς τὸ πρᾶγμα (πρβ. 157), τὸ φιλοθύτων ὀργίων σημαίνει τελετῶν φιληδουσῶν ταῖς θυσίαις ἤτοι τελετῶν, ἔνθα ἀσμένως καὶ ἀφθόνως προσφέρονται θύματα.

165—273. Πρῶτον ἐπεισόδιον. Ὁ Ἐτεοκλῆς ἀκούσας ἐν τοῖς ἀνακτόροις τοὺς σχετλιασμοὺς καὶ τὰς ἐπικλήσεις τῶν παρθένων καὶ λέγων ἐν ἐπιπλήξεσιν ὅτι τὸ τάρβος αὐτῶν ἠδύνατο νὰ ἐμποιήσῃ δειλίαν τοῖς πολίταις, διδάσκει αὐτὰς τὸν ὀρθὸν τρόπον τοῦ προσεύχεσθαι. — Ἡ σκηνὴ διαπτύσσει κάλλιστα τὸν χαρακτῆρα τοῦ Ἐτεοκλέους.

165 κέ. ὑμᾶς ἐρωτῶ: Ὁμοίως καὶ ἐν τῇ συνηθείᾳ ἐπὶ ὁμοίας περιστάσεως ἐν ἐρωτήσει μετ' ἐπιτιμήσεως λέγεται: σᾶς ἐρωτῶ, ἤ, δέν μου λέγετε; κτλ. — θρέμματα ὑβριστικῶς (Σχολ. ἀλόγοις δὲ ζῴοις παρέβαλε τὰς παρθένους), ὡς Σοφ. Ἠλ. 622 ὦ θρέμμ' ἀναιδὲς (ἡ Κλυταιμνήστρα λέγει τὴν Ἠλέκτραν), Εὐριπ. Ἀνδρομ. 261 ὦ βάρβαρον σὺ θρέμμα (ἡ Ἑρμιόνη καλεῖ τὴν Ἀνδρομάχην). — οὐκ ἀνασχετά, ἅ τις οὐ δύναται νὰ ὑπομείνῃ, ὡς καὶ ἐν τῇ συνηθείᾳ λέγομεν περί τινος, ὅτι εἶναι ζῷον, κτῆνος (ἔτι δὲ καὶ ὄρνεον ἐπὶ ἠλιθίου) ἀφόρητον. — ἀρωγὰ καὶ . . σωτήρια, δηλ. ἐστί.

167. θάρσος, ἐννοητέον ὡσαύτως ἐστί. Ὁ νοῦς· καὶ δύνανται νὰ ἐμβάλωσι θάρρος τῷ πολιορκουμένῳ στρατῷ; — πυργηρουμένῳ (Σχολ. «ἔσω τειχῶν ὄντι»), ἴδε σημ. εἰς 22.

169. αὔειν, λακάζειν (Σχολ. «ἠχεῖν»), ἴδε 60. — σωφρόνων μισήματα. Ὁ Σχολ. γράφων «ταῦτα, προσπίπτειν τοῖς ξοάνοις καὶ βοᾶν; ταῦτα οὖν ἃ πράττετε μισήσειαν ἂν οἱ εὖ φρονοῦντες ἄνδρες» ἐκλαμβάνει τὸ μισήματα ὡς ἐν παραθέσει κατηγορούμενον τῶν προηγουμένων ἐν τῇδε τῇ συναρτήσει· πρὸς βρέτη πεσούσας — αὔειν λακάζειν, ὄντα σωφρόνων μισήματα. Ἀλλ' Εὐμεν. 73, ἔνθα αἱ Ἐρινύες καλοῦνται μισήματ' ἀνδρῶν καὶ θεῶν Ὀλυμπίων, συνηγορεῖ ὑπὲρ τῆς ἀναφορᾶς τοῦ μισήματα εἰς τὰς παρθένους, ἃς καλέσας θρέμματα (165) προσονομάζει νῦν καὶ μισήματα, μισητὰς τοῖς σώφροσιν καὶ στυγεράς. — μισήματα περὶ προσώπων ἀντὶ ἐπιθέτου, ὡς 640, Χοηφ. 1026 πατροκτόνον μίασμα καὶ θεῶν στύγος. Πρβ. Πέρσ. 287, Εὐμεν. 647 ὦ παντομισὴ κνώδαλα, στύγη θεῶν, Σοφ. Ἠλ. 289 ὦ δύσθεον μίσημα, Εὐρ. Ἱππόλ. 406 γυνὴ . . . μίσημα πᾶσιν,

Digitized by Google

μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλῃ 170
ξύνοικος εἴην τῷ γυναικείῳ γένει.
κρατοῦσα μὲν γὰρ οὐχ ὁμιλητὸν θράσος,
δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κακόν.
καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς
θεῖσαι διερροθήσατ' ἄψυχον κάκην· 175
τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλεται,
αὐτοὶ δ' ὑπ' αὐτῶν ἔνδοθεν πορθούμεθα. 177
μέλει γὰρ ἀνδρί, μὴ γυνὴ βουλευέτω 182

Μηδ. 1320 ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι θεοῖς τε κἀμοί, παντί τ' ἀνθρώπων γένει, Ὀρέστ. 475 ὁ μητροφόντης ὅδε . . στύγημ' ἐμόν.

170 κέ. ἐν εὐεστοῖ φίλῃ, ἐν προσφιλεῖ εὐδαιμονίᾳ, ὡς Ἀγαμ. 920. Πρβ. Ἡσύχ. «εὐεστω· εὐθηνία, ἀπὸ τοῦ εὖ εἶναι». — τῷ γένει, καταφρονητικῶς, τῷ γυναικείῳ φύλῳ, ὡς Ἀριστοφ. Θεσμ. 786 καίτοι πᾶς τις τὸ γυναικεῖον φῦλον κακὰ πόλλ' ἀγορεύει. Ὁ Ἐτεοκλῆς ἔμπλεως ὀργῆς καταδικάζει πᾶν τὸ γυναικεῖον φῦλον, μεθ' οὗ ἀπεύχεται νὰ συγκατοικῇ εἴτε ἐν δυστυχίᾳ εἴτε ἐν εὐτυχίᾳ. Πρβ. καὶ Εὐρ. Μηδ. 889 ἀλλ' ἐσμὲν οἷόν ἐσμεν, οὐκ ἐρῶ κακόν, γυναῖκες.

172. Ἐκ τοῦ προηγουμένου γυναικείῳ ἀναπληροῦται, ὡς πολλάκις, ἡ γυνή. Ὁ νοῦς· ἐὰν ἡ γυνὴ ἐπικρατῇ (εἶναι ἐν εὐτυχίᾳ), εἶναι ἀφορήτως θρασεῖα καὶ ἀπροσπέλαστος καὶ ἀπροσομίλητος ὑπὸ ἀκατασχέτου χαρᾶς· ἐὰν δὲ ἐμπεσοῦσα εἰς κίνδυνον φοβηθῇ (ἐν κακοῖς), εἶναι τῷ τε οἴκῳ καὶ τῇ πόλει μεῖζον κακόν, τουτέστιν ἐν μὲν εὐτυχίᾳ ἀπροσομίλητος καὶ θρασεῖα, ἐν δὲ δυστυχίᾳ εὐθὺς ἄπελπις καὶ ἀθαρσὴς αὐξάνει καὶ ποιεῖ τὸ ἐπισκῆπτον κακὸν μεῖζον (πλέον). Πρβ. Εὐριπ. ἀπόσπ. 276 γυναῖκές ἐσμεν· τὰ μὲν ὄκνῳ νικώμεθα, τὰ δ' οὐκ ἂν ἡμῶν θράσος ὑπερβάλοιτό τις.

174 κέ. καὶ νῦν τίθεται, ὅταν πρὸς πίστωσιν τοῦ γενικοῦ κανόνος ἀναφέρηται ἴδιον πρᾶγμα. — τάσδε διαδρόμους φυγάς· τάσδε φ., δεικτικῶς πρὸς τους βωμούς. — διαδρόμους μετενεχθὲν ἀπὸ τῶν προσώπων τῶν τρεχόντων τῇδε κἀκεῖσε σημαίνει τὴν φυγήν, ἥν τις ἐν φόβῳ ποιεῖται τρέχων ἐπισπερχῶς δεῦρο κἀκεῖσε. Ὁ νοῦς· διὰ τούτου τοῦ περιδεοῦς καὶ θορυβώδους καὶ δεῦρο κἀκεῖσε ὑφ' ὑμῶν γενομένου δρόμου ἐνεβάλετε τοῖς πολίταις ἀψυχίαν καὶ δειλίαν. — διερροθήσατε. Σχολ. «διὰ τοῦ θορύβου ἐμβεβλήκατε». — ἄψυχον κάκην, πρβ. 223.

176. τὰ τῶν θύραθεν, τῶν ἐχθρῶν, οἵτινες πολιορκοῦντες ἀντιτίθενται (177) τοῖς ἔνδοθεν πολιορκουμένοις πολίταις. Πρβ. 68. — Ἡσύχ. «ὀφέλλεται· αὔξεται». Πρβ. 235.

177. ὑπ' αὐτῶν = ὑφ' ἡμῶν αὐτῶν. Πρβ. Προμ. 788, Ἀγ. 827, Χο. 220.

182 κέ. Ἡ πρότασις μέλει γὰρ ἀνδρὶ αἰτιολογεῖ οὐχὶ τὰ προηγούμενα, ἀλλὰ τὴν ἐπιφερομένην διαταγήν: μὴ γυνὴ — μέλει γὰρ ἀνδρί — βουλευέτω τἄξωθεν. — ἔνδον . . τίθει: μένουσα δὲ ἔνδον καὶ οἰκουροῦσα

Digitized by Google

τάξωθεν· ἔνδον δ' οὖσα μὴ βλάβην τίθει. 183
κεἰ μή τις ἀρχῆς τῆς ἐμῆς ἀκούσεται, 178
ἀνὴρ γυνή τε χὦ τι τῶν μεταίχμιον,
ψῆφος κατ' αὐτῶν ὀλεθρία διοίσεται, 180
λευστῆρα δήμου δ' οὔ τι μὴ φύγῃ μόρον. 181
ἥκουσας ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω; 184

μηδεμίαν βλάβην ἐπάγου ('Ομήρ. Ἰλ. 6, 490 ἀλλ' εἰς οἶκον ἰοῦσα τέ' αὐτῆς ἔργα κόμιζε . . πόλεμος δ' ἄνδρεσσι μελήσει), τοὺς πολίτας δηλονότι θορυβοῦσα, ὡς λέγει ὁ Σχολιαστής.

178. ἀ ρ χῆ ς, ἐξουσίας, προστάγματος.

179. χὦ τι τῶν μ ε τ α ί χ μ ι ο ν, καὶ ὅ,τι τούτων μέσον ἐστί. Σχολ. «νέος ἢ γέρων. ἀκαίρως (ὁ Weil ἀκύρως) δ' ἡ λέξις τὸ μεταίχμιον καὶ δηλοῖ τὸν ἀληθῶς ὀργιζόμενον. ἄλλως· κεκινδύνευται τῷ Αἰσχύλῳ ἐνταῦθα τὸ μεταίχμιον, γένους γὰρ ὄντος τοῦ ἀνδρὸς καὶ τῆς γυναικός, μέσον ἄλλο εἶπεν». Πρβ. καὶ Σχολ. ν. (Θ. Μαγ.) «ὅπερ τῶν γυναικῶν καὶ τῶν ἀνδρῶν μέσον· τοῦτο δέ φησιν οὐχ ὅτι ἐστί τι γένος ἀνδρῶν μεταξὺ καὶ γυναικῶν, ἀλλ' ἵνα δείξῃ τὸ τῆς προσταγῆς ἀκριβές· οἱ δὲ τοὺς εὐνούχους λέγοντες ἐρρώσθωσαν» καὶ Προμ. 117 θεόσυτος ἢ βρότειος ἢ κεκραμένη, ἀπόσπ. 70 Ζεύς τοι τὰ πάντα χὦτι τῶνδ' ὑπέρτερον. — Πρὸς τὸ ὅ,τι πρβ. 'Ηροδ. 2, 60 συμφοιτῶσι δὲ ὅ τι ἀνὴρ καὶ γυνή ἐστι πλὴν παιδίων, πρὸς δὲ τὸ δεικτικὸν τῶν πρβ. τῷ 372 καὶ 496, τοὺς 896 καὶ 899, τὰ 1057, τῷ Εὐμ. 137, τὸν 174 αὐτόθι.

180. ψῆφος ὀ λ ε θ ρ ί α, θανατικὴ ψῆφος, θάνατος. — 'Ησύχ. «διοίσεται· διακριθήσεται». Πρβ. Εὐριπ. Ὀρ. 49, 440 ψῆφος καθ' ἡμῶν οἴσεται τῇδ' ἡμέρᾳ, Θουκ. 4, 74 ἀναγκάσαντες τὸν δῆμον ψῆφον φανερὰν διενεγκεῖν, ὡς κατεγνώσθησαν, ἔκτειναν.

181. λ ε υ σ τ ῆ ρ α δ ή μ ο υ μ ό ρ ο ν, πρβ. Ἀγ. 1616 δημορριφεῖς . . λευσίμους ἀράς, Σοφ. Ἀντ. 36 φόνον δημόλευστον, Αἴ. 253 λιθόλευστον Ἄρη, Εὐριπ. Ὀρ. 50 εἰ χρὴ θανεῖν νὼ λευσίμῳ πετρώματι (ὡσαύτως 442), 614 λεύσιμον δοῦναι δίκην, 625 ἔα δ' ὑπ' ἀστῶν καταφονευθῆναι πέτροις. Ἐν τοῖς ἡρωϊκοῖς χρόνοις ὁ διὰ λιθοβολίας θάνατος ἦν ἡ συνήθης τιμωρία τοῦ λαοῦ, πρβ. 'Ομ. Ἰλ. 3, 57 ἀλλὰ μάλα Τρῶες δειδήμονες· ἦ τέ κεν ἤδη λάϊνον ἔσσο χιτῶνα. Φαίνεται δέ, ὅτι ὁ ποιητὴς ὑπαινίσσεται καὶ τὴν τελευτὴν τοῦ Λυκίδου ὃς βουλευτὴς ὢν καὶ εἰπὼν γνώμην ὑπὲρ παραδοχῆς τῶν διὰ τοῦ 'Ελλησποντίου Μουρυχίδου εἰς Σαλαμῖνα διακομισθεισῶν προτάσεων τοῦ τὰς Ἀθήνας καταλαβόντος Μαρδονίου αὐτός τε καταφονεύεται λίθοις ὑπὸ τῶν Ἀθηναίων καὶ αἱ γυναῖκες τῶν Ἀθηναίων διακελευσάμεναι ἀλλήλαις καὶ ἐπελθοῦσαι αὐτόκλητοι ἐπὶ τὴν Λυκίδου οἰκίαν «κατὰ μὲν ἔλευσαν αὐτοῦ τὴν γυναῖκα, κατα δὲ τὰ τέκνα», ὡς ἱστορεῖ ὁ 'Ηρόδοτος 9, 5.

184. Ἐν ὀργῇ καὶ πικρίᾳ λέγει ὁ Ἐτεοκλῆς ταῦτα, περὶ δὲ τῆς ῥήσεως διασωθείσης καὶ ἐν τῇ καθωμιλημένῃ ἡμῶν γλώσσῃ «ἤκουσες ἢ δὲν ἤκουσες ἢ εἶσαι κωφή;» ἔπιθι σημ. 95 καὶ Χοηφ. 880 κωφοῖς αὖτῶ καὶ καθεύδουσιν μάτην ἄκραντα βάζω.

Digitized by Google

ΧΟΡΟΣ.

ὦ φίλον Οἰδίπου τέκος, ἔδεισ' ἀκού- στροφ. α'.
σασα τὸν ἁρματόκτυπον ⟨ὄχων⟩ ὄτοβον, 186
ὅτε τε σύ-
ριγγες ἔκλαγξαν ἑλίτροχοι,
ἱππικῶν τ' ἄπυεν
πηδαλίων δία 190
στόμια πυριγενετᾶν χαλινῶν.

ΕΤΕΟΚΛΗΣ.

τί οὖν; ὁ ναύτης ἄρα μὴ 'ς πρῷραν φυγὼν
πρύμνηθεν ηὗρε μηχανὴν σωτηρίας,
νεὼς καμούσης ποντίῳ σαλεύματι;

185. Σχολ. «ἀπολογοῦνται διότι ἐθορύβησαν».

186. ἁρματόκτυπον ὄχων ὄτοβον, τὸν ἦχον τοῦ κροταλισμοῦ τῶν ἁρμάτων (Σχολ. ν. «ἀκούσασα τὸν ἦχον τὸν ἐκ τοῦ κτύπου τῶν ἁρμάτων γινόμενον»). Περὶ τοῦ τραγικοῦ πλεονασμοῦ ἐν τῇ ῥήσει πρβ. 207 ἀστυδρομουμέναν πόλιν, 716 κτεάνων χρηματοδαίτας, Εὐμ. 37 ποδωκείᾳ σκελῶν, 916 ἀστύνικον πόλιν καὶ ῥήσεις, ὡς βίοτος εὐαίων, δύσπλανοι ἀλάτειαι, εὐήρετμος πλάτη, λόγος κακόθρους, εὐάμερον φάος καὶ ἄλλα τοιαῦτα ἐν Πέρσ. 713.

188. Ἔπιθι τὰ στίχ. 137 εἰρημένα παραβάλλων καὶ Ἱκέτ. 187 σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι. — σύριγξ δέ ἐστι τὸ εἰς ὀπὴν τοῦ τροχοῦ ἐμβαλλόμενον μέρος τοῦ ἄξονος καὶ αὐτὴ δὲ ἡ ὀπὴ τοῦ τροχοῦ οὕτω καλεῖται, ὡς λέγει ὁ Σχολ. Σοφ. Ἠλ. 721. — ἑλίτροχοι, Σχολ. «περὶ ἃς ἑλίσσονται οἱ τροχοί». Κάλλιον: ἔκλαγξαν αἱ ἑλισσόμεναι σύριγγες (ὀπαί, ὀμφαλοὶ) τῶν τροχῶν.

189 κέ. Στόμια πυριγενετᾶν χαλινῶν ἤπυεν διὰ ἱππικῶν πηδαλίων = τὸ ἐν πυρὶ χαλκευθὲν (τουτέστιν τὸ ἐκ χάλυβος) στόμιον ἤχει ἡνιοχουμένων τῶν ἵππων. Πρὸς τὸ στόμια χαλινῶν πρβ. σημ. εἰς Πέρσ. στίχ. 546, πρὸς δὲ τὸ πυριγενετᾶν χαλινῶν Εὐριπ. Ἱππ. 1223 ἐνδακοῦσαι στόμια πυριγενῆ γναθμοῖς, Ὀρ. 820 τοκέων πυριγενεῖ τεμεῖν παλάμᾳ χρόα (= ξίφει) καὶ κατωτέρω στίχ. 925 ἐκ πυρὸς συθείς.

192 κέ. Τί οὖν; νομίζετε, ὅτι τὰ δεῦρο κἀκεῖσε ἐν τῇ πόλει δρομήματα (τὰ τρεξίματα) ὑμῶν παρέχουσι βοήθειαν τῇ πόλει; Περὶ τῆς χασμωδίας τοῦ τί οὖν ἴδε Πέρσ. 789. — ἄρα μή, ἄρά γε μὴ ὁ ναύτης, σαλευομένης καὶ κινδυνευούσης τῆς νεὼς ἐν τρικυμίᾳ, εὑρίσκει (ηὗρεν γνωμ. ἀόριστος) σωτηρίαν φεύγων ἀπὸ τῆς πρύμνης εἰς τὴν πρῷραν καὶ περιερχόμενος ἀπὸ τοῦ ἑνὸς μέρους εἰς τὸ ἕτερον, ἐπαυξάνει, καθάπερ ὑμεῖς (πρβ. 173 κέ.) τὴν ταραχὴν καὶ τὸν θόρυβον, οὐχὶ δὲ πᾶν τοὐναντίον ἀγωνίζεται ἐν ἀταραξίᾳ πρὸς τὸν κίνδυνον; — σαλεύματι, σάλῳ.

Digitized by Google

ΧΟΡΟΣ.

ἀλλ' ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρ- ἀντ. α'.
χαῖα βρέτη θεοῖς τε πίσυνος, νιφάδος 196
ὅτ' ὀλοᾶς
νιφομένας βρόμος ἐν πύλαις,
δὴ τότ' ἤρθην φόβῳ
πρὸς μακάρων λιτάς, 200
πόλεος ἵν' ὑπερέχοιεν ἀλκάν.

ΕΤΕΟΚΛΗΣ.

πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ·
οὐκ οὖν τάδ' ἔσται πρὸς θεῶν; ἀλλ' οὖν θεοὺς
ναοὺς ἁλούσης πόλεος ἐκλείπειν λόγος.

195. Τοῦ Ἐτεοκλέους εἰπόντος, ὅτι εἶναι ἀνωφελῆ καὶ δὴ καὶ βλαβερὰ τὰ δρομήματα καὶ αἱ ἐν ὥρᾳ κινδύνου μεταβάσεις ἀπὸ τόπου εἰς τόπον, ὁ χορὸς ἀποκρίνεται ὅτι παρῆλθε δημοσίᾳ, ὅπως ἐπικαλέσηται τὴν βοήθειαν τῶν θεῶν. — πρόδρομος σημαίνει τὸν πρὸς τὰ πρόσω σπεύδοντα, τὸν ἐπισπερχῶς καὶ προτροπάδην τρέχοντα, ὡς Εὐριπ. Ἰφ. τ. ἐ. Αὐλ. 424 ἐγὼ δὲ πρόδρομος σῆς παρασκευῆς χάριν ἥκω, Σοφοκλ. Ἀντιγ. 108 φυγάδα πρόδρομον = φεύγοντα προτροπάδην, ὥσπερ καὶ Ὅμηρος λέγει Ἰλ. 16, 304 προτροπάδην φοβέοντο, Πίνδαρος Πυθ. 4, 94 ἀνὰ δ' ἡμιόνοις ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας ἵκετο σπεύδων, Πλάτων Συμπ. σελ. 221C προτροπάδην φεύγειν. Πρβ. σημ. εἰς στ. 80 κέ.

196 κέ. θεοῖσι πίσυνος, θαρρῶν καὶ πεποιθὼς τοῖς θεοῖς. — νιφὰς περὶ πλήθους λίθων (πρβ. 144 λιθὰς), ὡς Εὐρ. Ἀνδρ. 1129 ἔβαλλον ἐκ χειρῶν πέτροις, πυκνῇ δὲ νιφάδι πάντοθεν σποδούμενος κτέ., καθ' Ὅμ. Ἰλ. 12, 156 οἳ δ' ἄρα χερμαδίοισιν ἐυδμήτων ἀπὸ πύργων βάλλον .. νιφάδες δ' ὡς πῖπτον ἔραζε κτέ. Ἄλλως ἐν ἀποσπ. 199, 7 νεφέλην δ' ὑποσχὼν (Ζεὺς) νιφάδι γογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα, τοῦ λόγου ὄντος περὶ βροχῆς λίθων. — νιφομένης, οὐχὶ νιφούσης, διότι ὁ Ζεὺς νίφει, ἀλλ' ἡ νιφὰς νίφεται. — βρόμος, ἐν λόγῳ μετὰ τοῦ ὅτε προσυπακούεται εὐκόλως τὸ ἦν. — δὴ τότε, κατ' ἐπικὴν θέσιν τῶν λέξεων ἀντὶ τότε δή.

201. Σχολ. «ἵνα τὴν ἑαυτῶν ἀλκὴν ὑπὲρ ἡμῶν ἔχοιεν οἱ θεοί». Πρβ. Ὁμήρ. Ἰλ. 4, 149 ὄφρ' ἴδητ' αἴ κ' ὔμμιν ὑπέρσχῃ χεῖρα Κρονίων, 24, 374 ἀλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα.

202. Εὔχεσθε πρὸ παντὸς τὰ τείχη ἡμῶν νὰ ἀποκρούσωσι τὸ πολέμιον δόρυ, εὔχεσθε νὰ πορίσωσι ἡμῖν τὰ τείχη σκέπην καὶ φυλακὴν κατὰ τῶν ἐχθρῶν. Στέγειν δόρυ, ὡς στέγων ἐχθροὺς 1000, στέγων ἅλα Ἱκέτ. 141 (Σχολ. εἴργων). Στέγειν κυριολεκτεῖται καὶ περὶ νεὼς ἢ ἀγγείου, ὧν διὰ τῶν ὀπῶν οὔτε νὰ εἰσέλθῃ οὔτε νὰ ἐξέλθῃ ὕδωρ δύναται (Ἡσύχ. στέγει· κρύπτει. συνέχει. βαστάζει. ὑπομένει). Πρβ. 220, 181.

203 κέ. Οὐ γενήσεται ἡμῖν παρὰ τῶν θεῶν τοῦτο, δηλαδὴ τὸ φρουρῆσαι καὶ

Digitized by Google

ΧΟΡΟΣ.

μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν στροφ. β'.
ἅδε πανάγυρις, μηδ' ἐπίδοιμι τάνδ' 206
ἀστυδρομουμέναν πόλιν δαΐῳ θ'
ἁπτόμενον πυρὶ πύργωμα.

ΕΤΕΟΚΛΗΣ.

μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς·
πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας 210
μήτηρ, γυνὴ Σωτῆρος· ὧδ' ἔχει λόγος.

σκεπάσαι τὰ τείχη ἡμᾶς ἐναντίον τοῦ ἐχθροῦ; Ταῦτα δύνασθε νὰ ἀνθυποβάλητέ μοι. Ἀλλὰ μὴν λέγεται, ὅτι ἁλούσης κτλ. Ἴδε Κριτ. ἐπισημ. Περὶ τῆς δεισιδαιμονίας ταύτης ἴδε 291 καὶ τὴν αὐτόθι σημείωσιν τοῦ Σχολ. «εἴρηται καὶ ἐν Ξοανηφόροις Σοφοκλέους ὡς οἱ θεοὶ ἀπὸ τῆς Ἰλίου φέρουσιν ἐπὶ τῶν ὤμων τὰ ἑαυτῶν ξόανα, εἰδότες ὅτι ἁλίσκεται», Εὐριπ. Τρῳ. 25 λείπω τὸ κλεινὸν Ἴλιον βωμούς τ' ἐμοὺς (διαλέγεται ὁ Ποσειδών), Verg. Aen. 2, 341 excessere omnes adytis arisque relictis di, Tacit. hist. 5, 15 apertae repente delubri (ἐν Ἱεροσολ.) fores et audita maior humana vox, excedere deos: simul ingens motus excedentium. Ἐπὶ τῶν Περσικῶν εὐθύμως ἤκουσαν οἱ Ἀθηναῖοι, ὅτι ἡ πολιοῦχος αὐτῶν θεὰ ἐξέλιπε τὸ ἐπὶ τῆς ἀκροπόλεως ἱερὸν αὐτῆς. Πρβ. Ἡροδ. 8, 41 προθυμότερον ἐξέλιπον τὴν πόλιν ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν.

205 κέ. Ὁ Σχολ. «μηδέποτε, φησίν, ἐπὶ τοῦ ἐμοῦ βίου καταλείποιεν τὴν πόλιν οἱ θεοί», ὀρθοτέρα ὅμως φαίνεται ἡ ἐκδοχὴ τμήσεως: ἐμὸν αἰῶνα καταλίποι. — θεῶν πανήγυρις (πρβ. 237 ξυντέλεια, Ἱκέτ. 228 πάντων ἀνάκτων τῶνδε κοινοβωμία, καὶ Ὅμ. Ἰλ. 7, 298 θεῖος ἀγών), τὰ ἀγάλματα τῶν συνηθροισμένων πολιούχων θεῶν.

207. ἀστυδρομουμέναν λέγεται περὶ τῶν ἄνω κάτω δρομημάτων ἀνὰ τὰς ὁδοὺς (πρβ. 338 ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες) τῆς πόλεως, ἐν ᾗ ἀναμὶξ τρέχουσιν ἐχθροί τε καὶ ἀστοί, οἱ μὲν διώκοντες, οἱ δὲ φεύγοντες, οἱ μὲν ἁρπάζοντες, οἱ δὲ σῴζειν τι πειρώμενοι.

208. ἁπτόμενον, ἀναπτόμενον πυρί, τυφόμενον. Πρβ. Σοφ. Ἀντιγ. 121 στεφάνωμα πύργων πευκάενθ' Ἥφαιστον ἑλεῖν. — πύργωμα, ὡς Εὐρ. Φοιν. 287 ἑπτάστομον πύργωμα Θηβαίας χθονός.

209 κέ. Ὁ νοῦς· μὴ ἐπικαλουμένη ὑπερμέτρως τοὺς θεοὺς καὶ ὀδυρομένη μάτην διατέλει βουλευομένη κακῶς, ἀλλὰ μεταλλάξασα γνώμην πείσθητι, διότι ἡ πειθαρχία κτλ.

211. μήτηρ: πρβ. Θεόγν. 385 πενίην μητέρ' ἀμηχανίης, Σοφ. Αἴ. 173 ὦ μεγάλα φάτις, μᾶτερ αἰσχύνας ἐμᾶς. — γυνὴ Σωτῆρος, Σχολ. «γυνὴ Διὸς σωτῆρος», ἡ πειθαρχία οὖσα συνεζευγμένη τῷ Διῒ σωτῆρι ἔχει τέκνον τὴν εὐπραξίαν. Πρβ. Σοφ. Ἀντιγ. 672 ἀναρχίας γὰρ μεῖζον οὐκ ἔστιν κακόν . . . τῶν δ' ὀρθουμένων σῴζει τὰ πολλὰ σώμαθ' ἡ πειθαρχία, καὶ Ξενοφ. Ἀναβ. 3.

Digitized by Google

ΧΟΡΟΣ.

ἔστι· θεοῦ δ' ἔτ' ἰσχὺς καθυπερτέρα· ἀντ. β'.
πολλάκι δ' ἐν κακοῖσιν τὸν ἀμάχανον
καὶ χαλεπᾶς δύας ὕπερθ' ὀμμάτων
κριμναμενᾶν νεφελᾶν ὀρθοῖ. 215

ΕΤΕΟΚΛΗΣ.

ἀνδρῶν τόδ' ἐστί, σφάγια καὶ χρηστήρια
θεοῖσιν ἔρδειν, πολεμίων πειρωμένοις·
σοὶ δ' αὖ τὸ σιγᾶν καὶ μένειν εἴσω δόμων.

ΧΟΡΟΣ.

διὰ θεῶν πόλιν νεμόμεθ' ἀδάματον, στροφ. γ'.

1, 38 καὶ 6, 1, 29 νομίζω γάρ, ὅστις ἐν πολέμῳ ὢν στασιάζει πρὸς ἄρχοντα, τοῦτον πρὸς τὴν ἑαυτοῦ σωτηρίαν στασιάζειν. — ὧδ' ἔχειλόγος, ὡς Χοηφ. 519, τοιαύτη εἶναι ἡ γνώμη μου, πρβ. σημ. εἰς Πέρσ. 346.

212. ἔστι, δηλ. ἔστι μὲν ἡ πειθαρχία . . μήτηρ, ἀλλ' ὅμως ἡ τῶν θεῶν ἰσχὺς εἶναι καθυπερτέρα. Ἐν τῇ καθ' ἡμᾶς συνηθείᾳ λέγεται ὡσαύτως ἐπὶ ἀνομολογούντων μὲν τὰ εἰρημένα, ἐπιλεγόντων δέ τι: ἃς εἶναι, οὕτως εἶναι, ἔτσι (ἴσως κατ' ἀναγραμματισμὸν γενόμενον ἐκ τοῦ ἔστι καὶ οὐχὶ ἐκ τοῦ et sic).

213 κέ. Πολλάκις τὸν ἐν ἀμηχάνοις κακοῖς διατελοῦντα ἀνορθοῖ ὁ θεὸς καίπερ νεφελῶν δεινοῦ ἄλγους ὕπερθεν τῶν ὀμμάτων αὐτοῦ κρεμαμένων. — ὕπερθ' ὀμμάτων, πρβ. Σοφ. Ἀντιγ. 528 νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν ῥέθος αἰσχύνει, Εὐρ. Ἱππολ. 173 στυγνὸν δ' ὀφρύων νέφος αὐξάνεται, Ὁρατ. epist. 1. 18, 94 deme supercilio nubem. — κρίμνημι ἔχει πρὸς τὸ κρεμάννυμι τὸν αὐτὸν λόγον, ὃν τὸ σκίδνημι πρὸς τὸ σκεδάννυμι.

216 κέ. σφάγια καὶ χρηστήρια, θύματα καὶ ἱερεῖα. Πρβ. Ἱκ. 459 δεῖ κάρτα θύειν καὶ πεσεῖν χρηστήρια θεοῖσι πολλοῖς πολλά. Σχολ. «τὰ εἰς χρῆσιν (= εἰς οἰωνοσκοπίαν) καὶ θυσίαν θύματα». — πειρωμένοις, ἴδε Κριτ. ἐπισ.

218. Ὥσπερ κεῖται τὸ πειρωμένοις, ὡσανεὶ προηγεῖτο προσήκει, οὕτως ἕπεται σοί. Ἡ γενικὴ πειρωμένων δὲν ἐτέθη, ἵνα μὴ ἐκληφθῇ πολεμίων ὡς ὑποκείμενον τοῦ πειρωμένων. Καθ' ὅμοιον τρόπον ποικίλλει ἡ σύνταξις Εὐμ. 411 πᾶσι δ' ἐς κοινὸν λέγω, βρέτας τε τοὐμὸν τῷδ' ἐφημένῳ ξένῳ ὑμᾶς θ' ὁμοίας οὐδενὶ σπαρτῶν γένει. — Πρὸς τὴν ἔννοιαν πρβ. Σοφ. Αἴ. 293 γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει, Εὐριπ. Ἡρακλείδ. 476 γυναικὶ γὰρ σιγή τε καὶ τὸ σωφρονεῖν κάλλιστον, εἴσω θ' ἡσυχον μένειν δόμων.

219. διὰ θεῶν ἀντὶ τοῦ συνήθους διὰ θεούς, πλὴν εἰ μή τις ὑπολάβοι ὅτι τὴν ἀρχὴν ἐγέγραπτο θεόν. Τοῖς θεοῖς ὀφείλομεν, ὅτι ἡ πόλις ἡμῶν εἶναι μέχρι τοῦδε ἀδάμαστος καὶ ὅτι τὸ τεῖχος στέγει ἡμᾶς κατὰ τῶν πολεμίων.

Digitized by Google

δυσμενέων δ' ὄχλον πύργος ἀποστέγει. 220
τίς τάδε νέμεσις στυγεῖ;

ΕΤΕΟΚΛΗΣ.

οὗτοι φθονῶ σοι δαιμόνων τιμᾶν γένος·
ἀλλ' ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς,
ἕκηλος ἴσθι μηδ' ἄγαν ὑπερφοβοῦ.

ΧΟΡΟΣ.

ποτίφατον κλύουσ' ἀνάμιγα πάταγον ἀντ. γ'.
ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπτολιν, 226
τίμιον ἕδος, ἱκόμαν.

ΕΤΕΟΚΛΗΣ.

μή νυν, ἐὰν θνῄσκοντας ἢ τετρωμένους
πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε.
τούτῳ γὰρ Ἄρης βόσκεται, φόνῳ βροτῶν. 230

221. Διὰ τί εἶναι ταῦτα νεμεσητὰ καὶ μεμπτά; Σχολ. «οὐδεὶς ταῦτα ὁρῶν ἡμᾶς ποιούσας μισήσειεν ἄν». — τάδε, Σχολ. «τὸ τιμᾶν τοὺς σώζοντας θεούς».

222. φθονῶ, νεμεσῶ, μέμφομαι.

223. κακοσπλάγχνους (175), τὸ ἀντίθετον θρασυσπλάγχνους.

224. ἄγαν ὑπερφοβοῦ, ἴδε σημ. εἰς Πέρσ. 796.

225 κέ. ποτίφατον, πρόσφατον. — ἀνάμιγα, ἄμμιγα (ἀναμίξ), ἀνάμικτον πάταγον. — ταρβοσύνῳ φόβῳ, ὡς Ἱκέτ. 744 περίφοβόν μ' ἔχει τάρβος. Ἔπιθι σημείωσιν εἰς στ. 186. — τάνδ' ἐς ἀκρόπτολιν, τὴν Καδμείαν, καλουμένην τίμιον ἕδος διὰ τοὺς ἐν αὐτῇ ναοὺς καὶ τὰ ἀγάλματα τῶν θεῶν. Ἔτι δὲ πρὸς τούτοις αἱ λέξεις αὗται δηλοῦσιν ὅτι ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν τῇ ἀκροπόλει τῶν Θηβῶν, τῇ Καδμείᾳ. Βλέπε Κριτ. ἐπισημειώσεις. — ἕδος, πρβ. σημ. εἰς στίχ. 94.

228. νύν, ὃν φύσει μακρὸν χάριν τοῦ μέτρου μεταχειρίζονται οἱ τραγικοὶ (οἷον κατωτέρω 404, Πέρσ. 1041 1049, 1067) ὡς βραχύ, ὥσπερ τἀνάπαλιν δι' ὁμοίαν αἰτίαν γίνεται χρῆσις τοῦ ἄρα ἀντὶ ἄρα.

229. Ἡσύχ. «ἁρπαλίζομαι· ἀσμένως δέχομαι». Ἐάν τινας ἀκούσητε ἀποθνήσκοντας ἢ τετρωμένους, μὴ ἁρπάσητε τὴν εἴδησιν, μὴ ὑποδέξησθε τὴν εἴδησιν ἐν ἀπλήστοις κωκυτοῖς καὶ θρήνοις.

230. τούτῳ .. βροτῶν, Σχολ. «ταῦτα νόμιμα Ἄρεως». Διὰ τοῦ προαγγελτικοῦ τούτῳ (πρβ. Σοφ. Ἀντ. 990 τοῖς τυφλοῖσι γὰρ αὕτη κέλευθος, ἐκ προηγητοῦ, πέλει) ἐκδηλοῦται ἡ ἔννοια: τὴν αἱματοχυσίαν ἐπάγεται ὁ πόλεμος καὶ τὰ πράγματα δὲν δύνανται νὰ μεταβληθῶσιν, ἡ αὕτη εἶναι ἡ μοῖρα τοῦ πολέμου· αἷμα καὶ φόνος εἶναι τὸ ἐντρύφημα τοῦ βροτολοιγοῦ Ἄρεως.

Digitized by Google

ΧΟΡΟΣ.

καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων.

ΕΤΕΟΚΛΗΣ.

μή νυν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν.

ΧΟΡΟΣ.

στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων.

ΕΤΕΟΚΛΗΣ.

οὐκ οὖν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι;

ΧΟΡΟΣ.

πέποιθ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται. 235

ΕΤΕΟΚΛΗΣ.

οὐ σῖγα μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν;

ΧΟΡΟΣ.

ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα.

ΕΤΕΟΚΛΗΣ.

οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε;

232. *ἄγαν ἐμφανῶς ἄκουε*] λίαν σαφῶς ἄκουε, Σχολ. «κἂν ἀκούῃς, προσποιοῦ μὴ ἀκούειν», ἐθελοκώφει.

233. Ἡ πόλις στενάζει ἐκ θεμελίων. Σχολ. «ὡς κυκλούντων τὴν πόλιν τῶν πολεμίων σείεται ἡ ἡμετέρα γῆ». Πρὸς τὸ στένει πρβ. 884 κέ. Τὸ μέσον κυκλοῦσθαι, ὡς 114, Πέρσ. 461. Ἐν τῷ κυκλουμένων προσυπακούεται τὸ αὐτῶν, τῶν πολεμίων.

236. Οὐ σιγῶσα θὰ παραλίπῃς νὰ διαθρυλήσῃς τι τούτων ἀνὰ τὴν πόλιν; ἤτοι σιγῶσα μηδὲν τούτων λέγε κατὰ τὴν πόλιν. Πρβ. Σοφ. Αἴ. 75 οὐ σῖγ' ἀνέξῃ μηδὲ δειλίαν ἀρῇ; Εὐριπ. Ἱππ. 213 οὐ μὴ παρ' ὄχλῳ τάδε γηρύσῃ;

237. ὦ ξυντέλεια: Σχολ. «τὸ κοινὸν ἄθροισμα τῶν θεῶν, μεταφορικῶς· κυρίως γὰρ ἡ τῶν στρατιωτῶν ἄθροισις· τέλος γὰρ τὸ τάγμα. Ὅμηρος· "ἐλθεῖν ἐς φυλάκων ἱερὸν τέλος" (Ἰλ. 10, 56)». Πρβ. Κριτ. ἐπισημ. καὶ 206. Ὁ Hermann ἐννοεῖ τὸ κοινὸν τῶν πολιτῶν, ἀλλ' ἐν παντὶ τῷ μέρει τούτῳ τοῦ δράματος ὁ χορὸς προσαγορεύει τοὺς θεούς, ὧν τὰ ἀγάλματα περιπτύσσεται, οὐδαμοῦ δὲ τοὺς ἀπόντας στρατιώτας. — προδῷς, πρβ. 154.

238. οὐκ εἰς φθόρον εἶ (οὐκ εἰς κόρακας;) καὶ σιγῶσ' ἀνασχήσῃ τάδε; Πρβ. Σοφ. Οἰδ. Τ. 1146 οὐκ εἰς ὄλεθρον; οὐ σιωπήσας ἔσῃ; Ἀγαμ. 1266 ἵτ' ἐς φθόρον πεσόντα.

Digitized by Google

ΧΟΡΟΣ.

θεοὶ πολῖται, μή με δουλείας τυχεῖν.

ΕΤΕΟΚΛΗΣ.

αὐτὴ σὺ δουλοῖς καὶ σὲ καὶ πᾶσαν πόλιν. 240

ΧΟΡΟΣ.

ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος.

ΕΤΕΟΚΛΗΣ.

ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος.

ΧΟΡΟΣ.

μοχθηρόν, ὥσπερ ἄνδρας ὧν ἁλῷ πόλις.

ΕΤΕΟΚΛΗΣ.

παλινστομεῖς αὖ θιγγάνουσ' ἀγαλμάτων;

239. θεοὶ πολῖται = θεοὶ πολιοῦχοι. Σχολ. «τοὺς ἰδίους καὶ πατρῴους ἐπικαλοῦνται θεούς, μὴ εἰς δουλείαν ἐμπεσεῖν». Πρβ. σημ. εἰς στίχ. 75.

240 κέ. σὲ ἀντὶ σεαυτήν, ὡς μὲ ἀντὶ ἐμαυτὴν Ἱκέτ. 123 ζῶσα γόοις με τιμῶ, τιθεμένης τῆς προσωπικῆς ἀντωνυμίας ἀντὶ τῆς αὐτοπαθοῦς. — παγκρατές, παντοκράτωρ (151). — βέλος εἰς ἐχθροὺς τρέψον = κεραύνωσον, ὡς 615 βαλὼν Ζεὺς σφε κάνοι κεραυνῷ.

242 κέ. Ὁ Ἐτεοκλῆς ἐν πικρᾷ εἰρωνείᾳ καὶ δυσανασχετῶν ἐπὶ ταῖς ἀτελευτήτοις εὐχαῖς μιμούμενος τὸν χορὸν καὶ ἀποτεινόμενος πρὸς τὸν Δία λέγει, ὦ Ζεῦ, οἷον δημιουργήσας παρέσχες ἡμῖν τὸ γένος τῶν γυναικῶν. — μοχθηρόν, πικρίαν πικρίᾳ ἀμείβων καὶ δὴ ὡς ἐξ ὀνόματος τοῦ Διὸς ἀποκρινόμενος ὁ χορὸς λέγει, ὅτι τὸ γένος τῶν γυναικῶν ἐδημιουργήθη ἐλεεινὸν καὶ τρισάθλιον, ὥσπερ ἄνδρας (ὤπασεν, ὀπάζει μοχθηρούς). — Πρὸς τὴν πτῶσιν τοῦ μοχθηρὸν προσηρμόσθη τὸ ἄνδρας, εἰ καὶ ὁ νοῦς εἶναι: ὥσπερ οἱ ἄνδρες, ὧν ἂν ἁλῷ πόλις, μοχθηροί εἰσιν. — ὧν ἁλῷ ἄνευ τοῦ ἄν, ὡς 335, 803, Εὐμ. 211 ἥτις νοσφίσῃ, Ἱκέτ. 96 εἰ κρανθῇ, καὶ συχνάκις παρὰ Σοφοκλεῖ. Πρβ. περὶ τῆς ἐννοίας Ὅμ. Ἰλ. 9, 591 κατέλεξεν ἅπαντα κήδε' ὅσ' ἀνθρώποισι πέλει τῶν ἄστυ ἁλώῃ.

244. Σχολ. «δυσφημεῖς καίτοι (ἀναγν. καίπερ) τῶν ἀγαλμάτων ἐχομένη». Πρβ. Εὐριπ. Ἴω. 1096 παλίμφαμος ἀοιδὰ (δύσφημος, βλάσφημος). Ἡ δυσφημία καὶ ὁ κακὸς οἰωνὸς συνέκειτο ἐν τούτῳ, ὅτι ὁ χορὸς οὐ μόνον ἐμνημόνευσεν τὴν ἅλωσιν τῆς πόλεως, ἀλλὰ καὶ ἐποίησε τοῦτο ἐγγὺς τῶν ἀγαλμάτων τῶν θεῶν, ὧν ἡ παρουσία ἀπῄτει εὐφημίαν. Ἐν ὁμοίᾳ ἐννοίᾳ ἠδύνατο ὁ Ἐτεοκλῆς ἀποκρούων τὴν ῥῆσιν «ἄνδρας ὧν ἂν ἁλῷ πόλις» νὰ εἴπῃ τὸ εὐφήμει, εὔφημα φώνει. Πρβ. Ἀγ. 1246, Σοφ. Αἴ. 361 ἀλλά με σύνδαίζον. ΧΟΡ. εὔφημα φώνει, 590. Ἐν τῇ καθ' ἡμᾶς συνη-

Digitized by Google

ΧΟΡΟΣ.

ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος. 245

ΕΤΕΟΚΛΗΣ.

αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος.

ΧΟΡΟΣ.

λέγοις ἂν ὡς τάχιστα, καὶ τότ' εἴσομαι.

ΕΤΕΟΚΛΗΣ.

σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει.

ΧΟΡΟΣ.

σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον.

θείᾳ λέγεται: μὴ λέγε κακὰ λόγῳ, 'μίλει καλά. Ἐπειδὴ δὲ ἐν ταῖς θυσίαις καὶ τοῖς ἱεροῖς ἦτο ἀνάγκη νὰ λέγωσι μόνον εὐοίωνα ἀποφεύγοντες πᾶν τὸ δυσοίωνον, διὰ ταῦτα οἱ ἄνθρωποι φοβούμενοι μὴ φύγῃ τὸ ἔρκος τῶν ὀδόντων αὐτῶν ἀπαισία τις λέξις διέμενον σιωπηλοί, ἐκ δὲ τούτου προῆλθεν ἡ σημασία, καθ' ἣν τὸ εὐφημεῖν σημαίνει καὶ σιωπᾶν. Πρβ. Ἀριστ. Θεσμοφ. 39 «εὔφημος πᾶς ἔστω λαός, στόμα σύγκλῃσας». — αὖ, πάλιν, δυσφημήσασα καὶ πρὶν 207.

245. ἀψυχίᾳ γάρ. Πρὸ τοῦ γὰρ προσυπακούεται ἡ βεβαίωσις τῶν λόγων τοῦ Ἐτεοκλέους: ναὶ παλινστομῶ, διότι ὁ φόβος συναρπάζει τὴν γλῶσσαν εἰς τοιούτους λόγους, ἕνεκα τοῦ φόβου δὲν ἄρχω τῆς γλώσσης.

246. Αἰ καὶ ἐμοῦ αἰτουμένου νὰ παρεῖχες ἐκπλήρωσιν οὖσάν σοι ῥᾳδίαν, εἴθε νὰ ἐξετέλεις τὴν αἴτησίν μου δυναμένη νὰ πράξῃς τοῦτο ῥᾳδίως. Πρὸς τὸ εὐκτικὸν εἰ (= εἴθε) πρβ. Ὁμ. Ἰλ. 10, 111 ἀλλ' εἴ τις καὶ τούσδε μετοιχόμενος καλέσειεν, 15. 571 εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλοισθα, 16, 559 ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες, Σοφ. Οἰδ. Τ. 863 εἴ μοι ξυνείη φέροντι μοῖρα, Εὐριπ. Ἑκ. 836 εἴ μοι γένοιτο φθόγγος ἐν βραχίοσι, Ἱκ. 620 ποτανὰν εἴ με τις θεῶν κτίσαι. Παρασημειωτέον δέ, ὅτι ἐπὶ ματαίας εὐχῆς τίθεται τὸ εἴθ' ὤφελε, ὡς ὤφελε. Πρβ. Κρυγ. Α'. § 54, 3, 3 καὶ 4 καὶ Β'. § 54, 3, 3 καὶ σημ. εἰς Πέρσ. 917. — δοίης τέλος = τελέσειας, ὡς καὶ παρ' ἡμῖν ἔδωκα τέλος εἰς τὴν ὑπόθεσιν = ἐπέρανα τὴν ὑπόθεσιν. — Πρὸς τὸ κοῦφον συναπτόμενον οὐχὶ τῷ αἰτουμένῳ, ἀλλὰ τῷ τέλος πρβ. Ἡροδ. 7, 38 σοὶ ἐλαφρὸν τυγχάνει ἐὸν ὑπουργῆσαι. — Μετὰ τὰς ματαίας ἀπειλὰς οὐχὶ ἄνευ τινὸς ἀπελπισμοῦ καὶ εἰρωνείας τρέπεται ὁ Ἐτεοκλῆς εἰς παρακλήσεις.

247. λέγοις ἂν προστακτικῶς, ὡς πλεισταχοῦ. — τότε, ὡς Σοφ. Οἰδ. Τ. 1517 ΟΙΔ. οἶσθ' ἐφ' οἷς οὖν εἶμι; ΚΡ. λέξεις, καὶ τότ' εἴσομαι κλύων.

248. Ὁ στίχος οὗτος περιέχει τὴν αἴτησιν, ὁ δὲ ἐπιφερόμενος τὴν ἐκπλήρωσιν.

Digitized by Google

ΕΤΕΟΚΛΗΣ.

τοῦτ' ἀντ' ἐκείνων τοὔπος αἱροῦμαι σέθεν. 250
καὶ πρός γε τούτοις, ἐκτὸς οὖσ' ἀγαλμάτων
[εὔχου τὰ κρείσσω, ξυμμάχους εἶναι θεοὺς]
κἀμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ
ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον,

250. τοῦτο τοὔπος σέθεν, δηλαδὴ τό τε σιγᾶν καὶ τὸ πάσχειν τὸ μόρσιμον (πεπρωμένον), διότι τὸ δεύτερον εἶναι καὶ ἀξίωμα τοῦ Ἐτεοκλέους (706). — ἀντ' ἐκείνων, τῶν προτέρων, Σχολ. «ἀνθ' ὧν ἄλλων δυσφήμων εἴρηκας τοῦτο μᾶλλον αἱροῦμαι παρὰ σοῦ». — αἱροῦμαι, ἐφ' ἧς ἐννοίας τίθεται καὶ τὸ ἐπαινῶ.

251. *ἐκτὸς οὖσ' ἀγαλμάτων*] Ὁ Ἐτεοκλῆς παρακελευόμενος ταῖς παρθένοις νὰ ἀποστῶσι τῶν ἀγαλμάτων, διότι τὸ προσπτύσσειν τὰ βρέτη τῶν θεῶν ἦν σημεῖον μεγίστου κινδύνου καὶ φόβου, συμβουλεύει αὐταῖς νὰ ἀναμέλψωσιν ὕμνους νικητηρίους. Τῷ παραγγέλματι τούτῳ πειθόμενος κατέρχεται εἶτα ὁ χορὸς εἰς τὴν ὀρχήστραν, ἔνθα ᾄδει τὸ ἐπιφερόμενον στάσιμον.

252. Ὁ στίχος οὗτος προλαμβάνει τὸν τρόπον τῶν ὀρθῶν εὐχῶν, ὃν ὁ Ἐτεοκλῆς συμβουλεύει ταῖς παρθένοις. Ἔτι δὲ πρὸς τούτοις ἀπηγόρευσεν ἤδη ὁ Ἐτεοκλῆς ταῖς παρθένοις τὴν εὐχὴν «ξυμμάχους εἶναι θεούς» ἐν τοῖς ἔμπροσθεν (202 κέ.).

818. γένεος Οἰδίπου τ' ἀρά, ἀρὰ κατὰ τοῦ γένους (ἡ καταγομένη ἀπὸ τοῦ Λαΐου) καὶ ἣν ἠράσατο ὁ Οἰδίπους. Οὕτω δὲ ἡ μὲν μία γενικὴ (γένεος) εἶναι ἡ καλουμένη γενικὴ ἀντικειμένου ἢ παθητική, ἡ δὲ ἑτέρα (Οἰδίπου) ὑποκειμένου ἢ ἐνεργητικὴ (πρβ. τὸ πασίγνωστον Πέλοπος Πελοποννήσου κατάληψις). Πρὸς τὴν ἔννοιαν πρβ. 826 κέ., 730, Εὐριπ. Φοιν. 1611 ἀρὰς παραλαβὼν (Οἰδίπους) Λαΐου καὶ παισὶ δούς. — τελεία, πρβ. 825 καὶ 870.

Digitized by Google

κακόν με καρδίαν τι περιπίτνει κρύος.
ἔτευξα τύμβῳ μέλος 820
Θυιὰς ὥς, αἱμοσταγεῖς
νεκροὺς κλύουσα δυσμόρως
θανόντας· ἦ δύσορνις ἅ-
δε ξυναυλία δορός.

ἐξέπραξεν, οὐδ' ἀπεῖπεν, ἀντ.
πατρόθεν εὐκταία φάτις· 826
βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν.
μέριμνα δ' ἀμφὶ πτόλιν·
θέσφατ' οὐκ ἀμβλύνεται.
ἰὼ πολύστονοι, τόδ' εἰρ- 830
γάσασθ' ἄελπτον· ἦλθε δ' αἰ-
ακτὰ πήματ' — οὐ λόγῳ.

819. με καρδίαν, ὡς Ἱκέτ. 384 φόβος μ' ἔχει φρένας, Εὐμ. 88 μὴ φόβος σε νικάτω φρένας κατὰ τρόπον Ὁμηρικόν. Πρβ. σημ. εἰς Πέρσ. 164. — Καὶ παρ' ἡμῖν δὲ λέγεται ἐπάγωσεν (ἐκρύωσε μᾶλλον περὶ δυσαρεσκείας καὶ ψυχρᾶς συμπεριφορᾶς πρός τινα) ἡ καρδιά μου, τὸ αἷμα, ἀπὸ τὸν φόβον. Πρβ. τὰ ὁμηρικὰ φόβος κρυερὸς καὶ κρυόεις.

820 κέ. Ὁ νοῦς· ἀνέπεμψα ἐπικήδειον ᾆσμα (ἐπιτύμβιον μέλος) ὥς τις θυιὰς (ἤτοι ἐν ἐκστάσει καὶ μανίᾳ ἐκ τῆς φρίκης, πρβ. 952 μαίνεται γόοισι φρὴν καὶ 485). Ὁ ἀόριστος ἔτευξα περὶ τοῦ πρὶν ἀρξαμένου μέλους. Περὶ τοῦ ἀορίστου ἐπὶ παρόντων ἴδε Σοφ. Αἴ. 693 ἔφριξ' ἔρωτι, περιχαρής δ' ἀνεπτάμαν καὶ σημ. εἰς Πέρσ. 227. — Ὁ τύπος αἱμοσταγὴς εὕρηται καὶ Εὐρ. ἀποσπ. 384, ἐν Εὐμενίσι δὲ 366 γραπτέον αἱμοσταγὲς ἀντὶ αἱματοσταγές.

823 κέ. ἦ δύσορνις . . δορός: βεβαίως λίαν δυστυχὴς εἶναι ἡ συναυλία αὕτη, ἤτοι αὕτη ἡ ὁμοία ἔκβασις (796) τοῦ ἀγῶνος.

825 κέ. Διεπέρανεν τὸ ἔργον οὐδαμῶς ἀποκαμοῦσα ἡ τοῦ πατρὸς ἀραία φάτις = ἀρά. — εὐκταία, ἴδε ἔμπροσθεν 710.

727 κέ. Ἡ ἀπείθεια (735), ὁ ἀπειθὴς νοῦς τοῦ Λαΐου (ἐπεὶ οὐκ ἐπείσθη Ἀπόλλωνι Σχολ.) διήρκεσεν μέχρι τοῦ νῦν ἐπάγων συμφοράς, καὶ διὰ τοῦτο φοβοῦμαι μεριμνῶν περὶ τῆς μελλούσης τύχης τῆς πόλεως. Πρβ. σῴζειν πόλιν 734, 749 κέ. Ὁ φόβος τοῦ χοροῦ ὑπὲρ τῆς πόλεως ἀναφέρεται εἰς τὸν πόλεμον τῶν Ἐπιγόνων (πρβ. στίχ. 885 κέ.). — Πρὸς τὸ ἄπιστοι πρβ. 1021 καὶ Ἡσύχ. «ἄπιστος· ἀπαράπειστος, ἀπειθής· Σοφοκλῆς Τρωΐλῳ».

830 κέ. πολύστονοι, πολυστένακτοι καὶ πολύκλαυτοι. — ἄελπτον, ἀνέλπιστον, οὐδενὸς προσδοκῶντος, ὅτι ἀδελφοὶ θὰ ἐφόνευον ἀλλήλους.

832. οὐ λόγῳ: Σχολ. «ἀλλ' ἔργῳ». Τὰς λέξεις ταύτας προστίθησιν ὁ χορὸς ὁρῶν αἴφνης τὴν νεκρικὴν πομπήν. Πρβ. Προμ. 1114 καὶ μὴν ἔργῳ κοὐκέτι μύθῳ χθὼν σεσάλευται.

Digitized by Google

1. τάδ' αὐτόδηλα, προῦπτος ἀγγέλου λόγος·
διπλαῖ μέριμναι, διδυμάνορα
κάκ' αὐτοφόνα, δίμοιρα τέλε- 835
α τάδε. τί φῶ;
2. τί δ' ἄλλο γ' ἢ πόνοι πόνων
δόμων ἐφέστιοι;
1. ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον
ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν 840
πίτυλον, ὃς αἰὲν δι' Ἀχέροντ' ἀμείβεται

833 κέ. Ἔξοδος. Θρῆνοι ἐπὶ τοῖς σώμασι τῶν δύο ἀδελφῶν, κομιζομένων εἰς τὴν σκηνήν. Μετ' οὐ πολὺ (μετὰ στίχ. 846) ἐπιφαίνονται καὶ αἱ ἀδελφαὶ Ἀντιγόνη καὶ Ἰσμήνη. Ἐν στ. 833—846 διαλέγεται ὁ κορυφαῖος ὡς ἡγεμὼν τοῦ ἑνὸς ἡμιχορίου πρὸς τὸν τοῦ ἑτέρου ἡμιχορίου ἡγεμόνα.

833. τάδ' αὐτόδηλα: ὁ χορὸς δείκνυσι τῇ χειρὶ βλέπων ἰδίοις ὄμμασι τὰ πτώματα, περὶ ὧν ἤκουσε παρὰ τοῦ ἀγγέλου. — αὐτόδηλα, ὥσπερ «αὐτὸ δηλοῖ», ἤτοι οὐκέτι δεῖ τοῦ λόγου ἄλλου. — προῦπτος λόγος: ὅ,τι ὁ ἄγγελος εἶπεν, τοῦτο ἔχομεν πρὸ τῶν ὀφθαλμῶν.

834 κέ. Ὁ νοῦς· διπλοῦν τὸ πένθος, διπλοῦν τὸ κακὸν τῆς ἀλληλοφονίας, διπλῆ ἡ προσφορὰ αὕτη (ἤτοι δύο συνεβάλοντο εἰς τὴν θυσίαν ταύτην). Τί νὰ εἴπω; Πρὸς τὸ μέριμναι πρβ. Εὐρ. Ἰκ. 896 ὡς τώδ' ἀδελφὼ πλησίον μιᾷ φλογί, δισσὴ μέριμνα μητρί, κρυφθῆτον χθονί. — διδυμάνορα κ. αὐτ., κακὰ δύο ἀνδρῶν φονευόντων ἀλλήλους. — τέλεα, ἴδε Πέρσ. στίχ. 207.

837. Τῇ ῥητορικῇ ἐρωτήσει: τί φῶ; ἀκολουθεῖ ὡς κυρίᾳ ἐρωτήσει ἡ ἀπόκρισις: τί ἄλλο εἶναι ἢ πόνοι ἐπὶ πόνοις ἑδρεύοντες ἐν τῷ οἴκῳ; Σχολ. «ἢ τὰ κακὰ ἀπὸ τῶν κακῶν οἰκεῖ ἐν τῇδε τῇ ἑστίᾳ καὶ τοῖς οἴκοις τούτοις». Πρβ. Χοηφ. 464 ὦ πόνος ἐγγενὴς .. δώμασιν ἔμμοτον τῶνδ' ἄκος. — δόμων (δωμάτων) ἐφέστιος ὡς Εὐμ. 580, 672, Ἱκέτ. 370.

839 κέ. Ἡ ἔννοια «στενάζοντες καὶ πλήσσοντες τὴν κεφαλὴν (καὶ τὸ στῆθος) θρηνήσατε θρήνους, τοὺς νεκροὺς διὰ τοῦ Ἀχέροντος εἰς τὸν Ἅιδην προπέμποντας» περικοσμεῖται ἐν ναυτικαῖς ῥήσεσι (ἴδε Πέρσ. 1047) συναδούσαις τῷ ἀληθεῖ διάπλῳ τοῦ Ἀχέροντος (πρβ. Προμ. 376, 386, Ἀγ. 487) κατὰ τόνδε τὸν τρόπον: «ἄγετε, ὦ φίλαι, ὑπὸ τῆς οὐρίας πνοῆς τῶν γόων (κατ' οὖρον γόων) οἱονεὶ πλησίστιοι φερόμενοι ἐρέσσετε ἐπὶ τῆς κεφαλῆς ὑμῶν τὴν χειροπληκτον νεκροπροπομπὸν (πόμπιμον) κωπηλασίαν, ἥτις ἀεὶ διὰ τοῦ Ἀχέροντος πορεύεται (ἀμείβεται) τὴν θεωρικὴν ὁδόν, τὴν διαπλεομένην ἐν μέλανα ἱστία ἔχουσι πλοίοις, τὴν μὴ πατουμένην, ὥσπερ ἡ εἰς Δελφοὺς ἢ εἰς Δῆλον θεωρικὴ ὁδός, ὑπὸ τοῦ Ἀπόλλωνος, τὴν ἀνήλιον, καὶ τὴν ἄγουσαν εἰς τὸν τοὺς πάντας ξενίζοντα καὶ δεχόμενον σκοτεινὸν κευθμῶνα τῶν νεκρῶν». — κατ' οὖρον, πρβ. 677. Ὥσπερ ἡ ναῦς ἐλαύνεται οὐ μόνον τῇ κώπῃ, ἀλλὰ καὶ τῷ οὐρίῳ ἀνέμῳ, πληροῦντι τὰ ἱστία, οὕτω καὶ ἡ νεκρικὴ πομπὴ προπέμπεται οὐ μόνον ὑπὸ τῶν χειροπλήκτων δούπων, ἀλλὰ καὶ ὑπὸ τῆς φορᾶς τῶν γόων. — πίτυλος, βλέπ. σημ. εἰς Πέρσ. 980.

Digitized by Google

τὰν ναύστολον μελάγκροκον θεωρίδα,
τὰν ἀστιβῆ 'πόλλω-
νι, τὰν ἀνάλιον, 845
πανδόκον εἰς ἀφανῆ τε χέρσον.

'Αλλὰ γὰρ ἥκουσ' αἷδ' ἐπὶ πρᾶγος
πικρὸν 'Αντιγόνη τ' ἠδ' 'Ισμήνη,
θρῆνον ἀδελφοῖν· οὐκ ἀμφιβόλως

— ναύστολον, ναυσίπορον καὶ ναυσιπέρατον ἤτοι ἣν τις ναυστολεῖ διαπλέων ἐπὶ πλοίων μελαγκρόκων (μέλας καὶ κρόξ, κρόκη), μέλανα ἱστία ἐχόντων. Πρβ. Εὐρ. Ἑκ. 1064 λινόκροκον φάρος, Ἡσιόδ. Ἔργ. καὶ Ἡμ. 536 στήμονι δ' ἐν παύρῳ πολλὴν κρόκα μηρύσασθαι. — αἰὲν δηλοῖ τοὺς συνήθεις θρήνους καὶ κοπετοὺς ἐν τῷ θανατῳ. — Ὁ βασιλεὺς τῆς Κρήτης Μίνως τιμωρούμενος τοὺς Ἀθηναίους τὸν θάνατον τοῦ υἱοῦ αὐτοῦ Ἀνδρόγεω ἠνάγκασεν αὐτοὺς πολεμῶν νὰ πέμπωσι δι' ἐννέα ἐτῶν ἑπτὰ κούρους καὶ ἑπτὰ κούρας εἰς Κρήτην θυομένους τῷ Μινωταύρῳ ἐν τῷ τῆς Κνωσοῦ Λαβυρίνθῳ. Τοῦ τρὶς τελεσθέντος τούτου φόρου ἀπήλλαξε τὴν πόλιν ὁ Θησεύς, τὸ δὲ πλοῖον τὸ φέρον εἰς Κρήτην τὴν ἀνθρωποθυσίαν ἐκείνην εἶχε μέλανα ἱστία. Πρὸς ἀνάμνησιν δὲ τῆς σωτηρίας ταύτης ἐτέλουν οἱ Ἀθηναῖοι τὴν ἑορτὴν τῶν Δηλίων πέμποντες κατ' ἐνιαυτὸν θεωρίαν τῷ Ἀπόλλωνι εἰς Δῆλον (Πλάτ. Φαίδ. 58). Ἐπέμποντο δὲ καὶ ἄλλοις θεοῖς θεωρίαι, οἷον τῷ Ποσειδῶνι εἰς Σούνιον διὰ πέντε ἐτῶν. Οἱ μετέχοντες τῆς θεωρίας ἐκαλοῦντο θεωροί, τὸ δὲ πλοῖον θεωρὶς (Ἡροδ. 6, 87). Ἀλλ' ὅμως ἡ λέξις θεωρὶς σημαίνει πλὴν τοῦ πλοίου καὶ τὴν ἱερὰν ὁδὸν καὶ τοιαύτην σημασίαν φαίνεται, ὅτι ἔχει ἐν τῷ προκειμένῳ χωρίῳ. Πρβ. Ἡσύχ. λ. «θεωροί· λέγουσι δὲ καὶ τὴν ὁδὸν δι' ἧς ἴασιν ἐπὶ τὰ ἱερὰ θεωρίδα» καὶ Πολυδεύκην μνημονεύοντα (2, 55) θεωρικὴν ὁδόν. Τῆς ἀληθῶς θεωρίδος διακρίνεται αὕτη ἡ νεκρικὴ θεωρίς. Πρβ. σημ. εἰς 64. — ἀστιβῆ Ἀπόλλωνι, ὡς θεῷ τοῦ φωτός. — ἀνάλιον, ὡς Εὐρ. Ἀλκήστ. 436 εἰν Ἀΐδα δόμοισιν τὸν ἀνάλιον οἶκον οἰκετεύοις (πρβ. καὶ Ὁμ. Ἰλ. 8, 480). — εἰς πανδόκον . . χέρσον, πρβ. Σοφ. Ἀντ. 804 τὸν παγκοίτην . . θάλαμον, Ἠλ. 138 ἐξ Ἀΐδα παγκοίνου λίμνας, Οἰδ. ἐ. Κ. 1563 κατανύσαι . . τὰν παγκευθῆ κάτω νεκρῶν πλάκα, Αἴ. 1193 τὸν πολύκοινον Ἅιδαν. — ἀφανῆ, σκοτεινήν, πρβ. Σοφ. Αἴ. 607 ἀΐδηλον Ἅιδαν, Verg. Aen. 6, 265 loca nocte tacentia late.

847—859. Ἐν δυσὶν ἀναπαιστικοῖς συστήμασιν ἀγγέλλει ὁ κορυφαῖος τὰς προσερχομένας ἀδελφὰς χαιρετίζων αὐτάς.

847 κέ. ἀλλὰ γὰρ ἥκουσι, ἤτοι ἕτερόν τι διανοητέον (πρβ. 852 κέ.), διότι ἔρχονται κτλ. Περὶ τῆς ῥήσεως ἔπιθι σημ. εἰς Πέρσ. 153. — αἷδ', δείκνυσι τῇ χειρὶ (831). — ἐπὶ πρᾶγος πικρόν, ἑρμηνευόμενον διὰ τοῦ, θρῆνον ἀδελφοῖν.

849. θρῆνος ἀδελφοῖν: ὁ θρῆνος οὗτος ᾄδεται 941—995. — οὐκ ἀμφιβόλως, ἤτοι οὐχὶ ἀσθενῶς καὶ διφορουμένως (859), ἀλλ' ἐκ πάσης ψυχῆς καὶ

Digitized by Google

οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων 850
στηθέων ἥσειν ἄλγος ἐπάξιον.
ἡμᾶς δὲ δίκη πρότερον φήμης
τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύος
ἀχεῖν Ἅιδα τ'
ἐχθρὸν παιᾶν' ἐπιμέλπειν. 855
ἰώ,
δυσαδελφόταται πασῶν ὁπόσαι
στρόφον ἐσθῆσιν περιβάλλονται,

λίαν ὀξυτόνως. Τοῦτο ἡ κοινὴ ἡμῶν λαλιὰ θὰ ἐξεδήλου διὰ τοῦ: ὄχι εἰς τὰ ψέμματα (ψευδῶς), ἀλλ' εἰς τὰ σωστά, εἰς τὰ γερὰ (ἐκ τοῦ ὑγιηρὸς μᾶλλον ἢ ἐκ τοῦ ὁμηρικοῦ ἱερός), εἰς τὰ γεμάτα. Ἔπιθι σημ. εἰς Πέρσ. 550.

850. σφέ, αὐτάς. — ἐρατῶν, ἐρατεινῶν, ἅτε παρθενικῶν. — βαθυκόλπων, βαθυστέρνων, ἐφ' ἧς σημασίας καὶ τὸ βαθύζωνος, περὶ οὗ εἴρηται Πέρσ. 158, δηλοῖ πλαστικώτατα τὴν βαθεῖαν περὶ τὴν ἰξὺν (μέσην) ζῶσιν, δι' ἧς ἐξέχουσι οἱ σφριγῶντες παρθενικοὶ μαστοί.

851. ἐπάξιον, ἤτοι ἀντάξιον τοῦ μεγέθους τῆς δυστυχίας. Πρβ. Σοφ. Αἴ. 975 δοκῶ Τεύκρου κλύειν βοῶντος ἄτης τῆσδ' ἐπίσκοπον μέλος.

852. δίκη, δηλ. ἐστί, δίκαιόν ἐστι. — πρότερον φήμης, πρὸ τοῦ θρηνητικοῦ ᾄσματος τῶν ἀδελφῶν. Σχολ. ν. «πρὸ τοῦ κλαῦσαι ἐκείνας».

853 κέ. ὕμνον Ἐρινύος 860—871, Ἅιδα παιᾶνα 872—940. — δυσκέλαδον, ἀπαίσιον καὶ κακὸν ἦχον ποιοῦντα. Πρβ. Εὐρ. Μηδ. 419, Ἴω. 1090 δυσκελάδοισιν . . ἀείδεθ' ὕμνοις, 1098 μοῦσα . . δυσκέλαδος, Αἰσχ. Χοηφ. 407 θεῶν τῶν κατὰ γᾶς ὕδ' ὕμνος καὶ σημ. εἰς Πέρσ. 608 καὶ 937 κέ. Ὁ ὕμνος λέγεται ὕμνος Ἐρινύος, διότι ἡ ἀλληλοκτονία τῶν ἀδελφῶν εἶναι ἔργον τῶν Ἐρινύων, ἐκπληρωσασῶν τὰς τοῦ πατρὸς ἀρὰς κατὰ τῶν τέκνων. — Πρὸς τὸ Ἅιδα παιᾶνα πρβ. Χο. 151 παιᾶνα τοῦ θανόντος, Ἀγ. 650 παιᾶνα τόνδ' Ἐρινύων, ἔνθα ὁ Σχολ. «ἐπ' ἀποθανόντος παιᾶνα εἶπε κακῶς καὶ Εὐριπίδης (Ἀλκήστ. 424) παιᾶνα τῷ κάτωθεν ἀσπόνδῳ θεῷ», Εὐρ. Τρῳά. 1230 νεκρῶν ἴακχον. — ἐχθρόν, μισητὸν καὶ κακόν. — ἐπιμέλπειν, ἤτοι πρὸς τῷ τῆς Ἐρινύος ὕμνῳ μέλπειν. — Πρὸς τὴν σημασίαν τῆς ἐπὶ πρβ. 140.

856 κέ. δυσάδελφος, δυστυχὴς ὡς πρὸς τοὺς ἀδελφούς. — πασῶν ὁπόσαι . . περιβάλλονται, ὡς 911 πασᾶν γυναικῶν ὁπόσαι τεκνογόνοι κέκληνται, σημαίνει: δυσαδελφόταται πασῶν τῶν οὐσῶν παρθένων.

857. στρόφος σημαίνει ἐνταῦθα τὸ τοὺς μαστοὺς τῶν γυναικῶν ὑποβαστάζον ζώνιον (στηθόδεσμον τὰ νῦν παρ' ἡμῖν κληθέν), Ἱκέτ. 466 ἔχω στρόφους ζώνας τε, συλλαβὰς (ἀνακτέον μόνον εἰς τὸ ζώνας) πέπλων, ἐφ' ἧς σημασίας κεῖται συνήθως τὸ ὑποκοριστικὸν στρόφιον, οἷον Ἀριστοφ. Θεσμ. 139, 638 κέ. χάλα ταχέως τὸ στρόφιον . . καὶ νὴ Δία τιτθούς γ' ὥσπερ ἡμεῖς οὐκ ἔχει (ὁ Μνησίλοχος), ἡ παρὰ Λατίνοις fascia pectoralis, ἀνθ' οὗ ὁ Κάτουλλος εἶπεν 64, 65 non tereti strophio luctantes vincta papillas. Παρ' Ὁμήρῳ (οἷον

Digitized by Google

κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς
μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν.

ἰὼ ἰὼ δύσφρονες, στροφ.
φίλων ἄπειστοι καὶ κακῶν ἀτρύμονες, 861
δόμους πατρῴους ἑλόν-
τες μέλεοι σὺν αἰχμᾷ.

Ἰλ. 4, 135, 186, 216) μίτρα ἐκαλεῖτο τὸ ἐν χρωτὶ ζώνιον, οὗ ὕπερθεν ἔκειτο ὁ θῶραξ καὶ ἐπ' αὐτοῦ ὁ ζωστήρ. Ζῶμα δὲ παρὰ τῷ ποιητῇ εἶναι αἱ πτέρυγες τοῦ θώρακος, τὸ περίζωμα, ἡ περιζώστρα (τὸ παρ' ἡμῖν κοινῶς λεγόμενον ποδιά), ἡ καθικνουμένη ἀπὸ τοῦ ὀμφαλοῦ μέχρι τῶν κνημῶν. Παρὰ τοῖς ὕστερον μίτρα σημαίνει οὐ μόνον δέμα περὶ τὴν κεφαλὴν γυναικεῖον (Εὐριπ. Ἀριστοφ. κ. α.), ἀλλὰ καὶ τὸν στέφανον (Πινδ. Ὀλ. 9, 125), ἔτι δὲ πρὸς τούτοις καὶ ἁπλῶς τὴν ζώνην. Ὁ Σχολ. γράφων «ὦ δυσαδελφόταται πασῶν παρθένων αἱ μίτρας κατὰ τὴν φθορὰν λύονται· ἀντὶ δὲ τῆς μίτρας καὶ ζώνης νῦν στρόφον εἶπεν» ἐκδέχεται ἐνταῦθα οὐ μόνον τὸ στρόφον ἀντὶ τοῦ ζώνη, ἀλλὰ παραινίσσεται καὶ τὴν παρθενικὴν ζώνην, ἣν ὁ νέος σύζυγος ἔλυεν, πλὴν εἰ μή τις ὑπολάβοι, ὅτι ἀναγνωστέον ἐστὶ παρὰ τῷ Σχολιαστῇ κατὰ τὰ φάρεα ἐνδύονται ἀντὶ κατὰ τὴν φθορὰν λύονται.

858 κέ. κλαίω, στένομαι, βλέπ. σημ. εἰς Πέρσ. 62 κέ. — δόλος . . λιγαίνειν, καὶ οὐδεὶς δόλος καὶ ὑπόκρισις ὑπάρχει, ὅτι θρηνῶ καὶ ὀδύρομαι ἐκ ψυχῆς. — μὴ ἀντὶ τοῦ «μὴ οὐ», διότι δόλος (ἐστὶ) ὑποληπτέον, ὅτι σημαίνει δυσπιστίαν καὶ ἄρνησιν. — ἐκ φρενὸς ὀρθῶς, ὡς 902 ἐτύμως ἐκ φρενός. Πρβ. καὶ στίχ. 849.

860—871. Ὕμνος Ἐρινύος (853) ἢ θρῆνος. Ἡ ἀμοιβαία ἀπώλεια τῶν ἀδελφῶν συναπώλεσε καὶ τὸν οἶκον, ἡ δὲ Ἐρινὺς ἐτέλεσε τὰς ἀρὰς τοῦ πατρός. Ἐν τοῖς ἀναπαιστικοῖς συστήμασι 864 κέ. μέλεοι δῆθ' κτέ. καὶ 870 κέ. καταρὰς δῆθ' κτέ. πιστοῦται ὁ Κορυφαῖος τὸ ὑπὸ σύμπαντος τοῦ χοροῦ προειρημένον.

861. φίλων ἄπειστοι κτέ. Ἡ συνήθης ἑρμηνεία τοῦ χωρίου τούτου εἶναι ἡ ὑπὸ τοῦ Schütz γενομένη καὶ ἔχουσα ὧδε «τοῖς φίλοις μὴ πειθόμενοι, τοῦ ἄπειστοι ἀναφερομένου εἰς στίχ. 699, ἔνθα ὁ χορὸς μάτην ἱκετεύει τὸν Ἐτεοκλέα νὰ ἀκολουθήσῃ αὐτῷ συμβουλεύοντι καλῶς· κακῶν ατρύμονες, οἱ μὴ καμπτόμενοι μηδὲ δαμαζόμενοι ὑπὸ τοσούτων παρελθόντων κακῶν, ἵνα μὴ προστεθῶσιν καὶ ἕτερα». Ἀλλ' ὅμως τὸ φίλων σὺν τῷ ἑπομένῳ κακῶν εἶναι οὐδέτερον σημαῖνον: ἀμετάπειστοι ὑπὸ τοῦ ἡδέος καὶ τερπνοῦ πράγματος καὶ ἀκαταπόνητοι ὑπὸ τῶν κακῶν, τουτέστιν οὔτε ὑπὸ τῆς ἡπίας φωνῆς τῆς εὐτυχίας οὔτε ὑπὸ τῆς τραχείας δυνάμεως τῆς δυστυχίας μεταβάλλοντες γνώμην καὶ μεταπειθόμενοι ἢ καθὰ λέγομεν ἐν τῇ συνηθείᾳ οὔτε μὲ τὸ καλὸ οὔτε μὲ τὸ κακὸ τουτέστι δι' οὐδενὸς τρόπου. Πρβ. Εὐρ. ἀπόσπ. 220 πρὸς φίλων (ἤτοι πρὸς ἡδονῆς) νικώμενοι. Περὶ τῆς γενικῆς ἐξαρτωμένης ἐκ τοῦ στερητικοῦ α πρβ. μάχας ἄτρεστοι Προμ. 432, Δίκας ἀφόβητος Σοφ. Οἰδ. Τ. 885, ἀδμᾶτες ἀεικελιᾶν εἰσι νόσων Βακχυλ. ἀπόσπ. 34.

862. ἑλόντες, Σχολ. πορθήσαντες.

Digitized by Google

μέλεοι δῆθ' οἱ μελέους θανάτους
ηὕροντο δόμων ἐπὶ λύμῃ. 865

ἰὼ ἰὼ δωμάτων ἀντ.
ἐρειψίτοιχοι καὶ πικρὰς μοναρχίας
ἰδόντες, ἤδη διήλ-
λαχθε σὺν σιδάρῳ.

καταρὰς δῆθ' ἡ πατρὸς Οἰδιπόδα 870
πότνι' Ἐρινὺς ἐπέκρανεν.

1. δι' εὐωνύμων τετυμμένοι, στροφ. α'.
2. τετυμμένοι δῆθ',
1. δμοσπλάγχνων τε πλευρωμάτων
⏑ ⏑ ⏑ ⏑ ⏑ ⏑ —
αἰαῖ δαμόνιοι, 875
αἰαῖ δ' ἀντιφόνων

864 κέ. μέλεοι .. μελέους, πρβ. Σοφ. Οἰδ. Τ. 479 μέλεος μελέῳ ποδί, Ἀντ. 979 μέλεοι μελέαν πάθαν κλαῖον. — δῆτα, ἴδε σημ. εἰς στ. 873. — δόμων ἐπὶ λύμῃ, πρβ. Εὐρ. Ἰφιγ. τ. ἐ. Τ. 57 στῦλοι γὰρ οἴκων παῖδές εἰσιν ἄρσενες.

867. ἐρειψίτοιχοι, τοὺς τοίχους τῆς οἰκίας κατερείψαντες. — πικρὰς πρβ. 717 καὶ σημ. εἰς Πέρσ. 476 κέ. — μοναρχίας ἰδόντες: Σχολ. ν. «ἐπίθυμος γὰρ ἕκαστος ἀποκτείνας τὸν ἕτερον μόνος ἄρχειν, ὥστε ἦν ἐπεθύμουν μοναρχίαν ἰδεῖν, πικρὰ αὐτοῖς ἔδοξε, δι' ἐκείνην στερηθεῖσι τοῦ ζῆν». διήλλαχθε σὺν σιδάρῳ, κατὰ τὴν τοῦ πατρὸς ἀράν (773 κέ.).

870 κέ. Σχολ. «τῷ ὄντι ἡ τοῦ Οἰδίποδος Ἐρινὺς ἐτελείωσε τὰς ἐκείνου ἀρὰς κατὰ τῶν παίδων». Πρβ. 817.

872—940. Ἐπικήδειος θρῆνος (854 κέ.) ἢ κομμὸς ᾀδόμενος ὑπὸ ἡμιχορίων διαδεχομένων ἄλληλα, ὡς Εὐμ. 143—168, ἐν μὲν τῷ πρώτῳ στροφικῷ συστήματι δίς, ἐν δὲ τοῖς ἑπομένοις ἅπαξ μόνον. Καὶ ἡ διακοπὴ τῆς πρώτης προτάσεως ὑπὸ τοῦ ἑτέρου ἡμιχορίου εὕρηται ὡσαύτως ἐν ταῖς Εὐμενίσιν.

872 κέ. δι' εὐωνύμων δμοσπλάγχνων τε (ἴδε εἰς Πέρσ. 570) πλευρωμάτων τετυμμένοι (πεπληγμένοι κατὰ τὴν ἀδελφικὴν καρδίαν). Σχολ. «τοῦτο δὲ συμβαίνει ἐν τοῖς κατὰ τὸ ἐναντίον ἱσταμένοις .. ἑκάτερος γὰρ τῶν μονομαχούντων τὸ ἀριστερὸν πλευρὸν τοῦ ἀντιπάλου τιτρώσκειν βούλεται». — Τὴν ὀδυνηρὰν λέξιν τετυμμένοι πιστοῦται τὸ ἕτερον ἡμιχόριον, ὥσπερ μηνύει καὶ τὸ δῆτα προστιθέμενον συνήθως, ὅταν τις ἐπιβεβαιούμενος ἐπαναλαμβάνῃ τὴν λέξιν ἑτέρου. Πρβ. 864, 917, 971, Ἱκέτ. 222. — Ἐν τῷ χάσματι ἀπώλετο ῥῆσίς τις δηλοῦσα τὸ ἀποτέλεσμα, οἷα: ἐπέσετε μέλεοι.

875 κέ. δαιμόνιοι, δυστυχεῖς. — αἰαῖ ἀντιφ., φεῦ τῶν πατρικῶν ἀρῶν τῶν προξένων ἀμοιβαίων θανάτων. Περὶ

Digitized by Google

ἐκ θανάτων ἀραί.
2. διανταίαν λέγεις δόμοισι καὶ
σώμασιν πεπλαγμένους,
ἀναυδάτῳ μένει τ' 880
ἀραίῳ τ' ἐκ πατρὸς
οὐ διχόφρονι πότμῳ.

1. διήκει δὲ καὶ πόλιν στόνος, ἀντ. α'.
2. στένουσι πύργοι,
1. στένει πέδον φίλανδρον· μενεῖ 885

τῆς γενικῆς ἐπὶ τῶν ἐπιφωνημάτων ἴδε σημ. εἰς Πέρσ. 119. Ἐν Εὐμεν. 983 ἀντιφόνους ἄτας, 467 ἀντικτόνοις ποιναῖσι, Σοφ. Ἠλ. 246 ἀντιφόνους δίκας, Φιλ. 1156 ἀντίφονον κορέσαι στόμα δηλοῖ ἀντίφονος τὸν εἰς ἐκδίκησιν (τίσιν) διαπραχθέντος φόνου γενέμενον θάνατον. Ὁ Hartung εἰκάζει ἐνταῦθα αὐτοφόνων.

878 κέ. διανταίαν (πληγήν), ὡς Χοηφ. 638 διανταίαν οὐτᾷ, Σοφ. Ἀντ. 1308 τί μ' οὐκ ἀνταίαν ἔπαισέν τις ἀμφιθήκτῳ ξίφει; Πρβ. Ἀγαμ. 1344 δευτέραν πεπληγμένος, Εὐριπ. Ἀνδρ. 843 ἀπόδοσ (τὸ ξίφος) ἵν' ἀνταίαν ἐρείσω πλαγάν. Ὁ νοῦς· Λέγεις διαμπερῆ πληγὴν (καιρίαν καὶ τὴν καρδίαν τρώσασαν), γενομένην καὶ κατὰ τοῦ οἴκου (875 κέ.) καὶ κατὰ τῶν σωμάτων (872 κέ.) δι' ἀνηκούστου θράσους καὶ ἕνεκα τῆς ἐκ τῆς ἀρᾶς τοῦ πατρὸς ἐπισκηψάσης αὐτοῖς ἴσης τύχης (876 κέ.). Προστέθη τοίνυν τῇ ἀρᾷ τοῦ πατρὸς ἡ ἰδία μανία αὐτῶν. — πεπλαγμένους δόμ. καὶ σώμασιν, πεπληγμένους κατὰ τοὺς δόμους καὶ τὰ σώματα ἤτοι διανταίαν λέγεις πληγήν, ἣν ἐπήνεγκον τῷ οἴκῳ καὶ τοῖς σώμασιν (864 κέ.). — ἀναυδάτῳ, πρβ. Εὐριπ. Ἴω. 783 ἄφατον ἀναύδητον λόγον ἐμοὶ θροεῖς. — οὐ διχόφρονι, οὐχὶ διαφωνοῦντι καὶ διαφόρῳ, ἀλλ' ὁμοίῳ.

885 κέ. Ὁ νοῦς· διῆλθε δὲ καὶ τὴν πόλιν ὁ ὑπὲρ τούτων στόνος· στένουσιν οἱ πύργοι, στένει δὲ καὶ ἡ μήτηρ γῆ ποθοῦσα τοὺς ἄνδρας τούτους. — πέδον φίλανδρον (ἡ τῶν Θηβαίων γῆ), ὡς εὐμενεῖ πέδῳ 17. Ἡ μήτηρ γῆ φιλοῦσα τοὺς τροφοὺς αὐτῆς στένει. — μενεῖ: τριπλῆν ἑρμηνείαν παρέχει ὁ Σχολ. γράφων «ἄλλοις ἔσται τὰ χρήματα (πρβ. 720) δι' ἃ ἀπώλοντο· ἢ οὕτως, τὰ κτέανα ταῦτα, οἷον τὰ ὀνείδη, διήξει μέχρι τῶν ἐπιγόνων· κτέανα δὲ εἶπεν ὡς ἐπὶ οὐσίας, οἷον κληρονομήσουσι τῶν παθῶν οἱ παῖδες». Ὅπως ἄν ποτ' ᾖ, ἡ λέξις ἐπιγόνοις παραινίσσεται κατὰ τὸν Weil τοὺς υἱοὺς τῶν ἑπτὰ ἡγεμόνων, οἵτινες δέκα ἔτεσιν ὕστερον, ἡγουμένου τοῦ υἱοῦ τοῦ Πολυνείκους Θερσάνδρου, ἐξεπολιόρκησαν τὰς Θήβας (Ὁμ. Ἰλ. 4, 408 πειθόμενοι τεράεσσι θεῶν καὶ Ζηνὸς ἀρωγῇ· κεῖνοι δὲ σφετέρῃσιν ἀτασθαλίῃσιν ὄλοντο), πεσόντος μόνου τοῦ Αἰγιαλέως, τοῦ υἱοῦ τοῦ πρὶν σωθέντος Ἀδράστου (Πινδ. Πυθ. 8, 38 κέ.). Πρβ. τοιοῦτον ὑπαινιγμὸν ἔμπροσθεν στίχ. 827 κέ. — Περὶ τῆς θέσεως τοῦ δὲ (886) εἴρηται σημ. εἰς 41.

Digitized by Google

κτέανα δ' ἐπιγόνοις,
δι' ὧν αἰνομόροις,
δι' ὧν νεῖκος ἔβα
καὶ θανάτου τέλος.
2. ἐμοιράσαντο δ' ὀξυκάρδιοι 890
κτήμαθ', ὥστ' ἴσον λαχεῖν.
διαλλακτῆρι δ' οὖν
ἀμεμφεία φίλοις,
οὐδ' ἐπίχαρις Ἄρης.

1. σιδαρόπλακτοι μὲν ὧδ' ἔχουσιν, στροφ. β'.
σιδαρόπλακτοι δὲ τοὺς μένουσιν — 896
τάχ' ἄν τις εἴποι, τίνες; —
τάφων πατρῴων λαχαί.
2. μάλ' ἀχάεσσ' ἰὰ τοὺς
προπέμπει, δαϊκτὴρ γόος αὖ- 900

887 κέ. δι' ὧν αἰνομόροις νεῖκος καὶ τέλος θανάτου ἔβη. Πρὸς τὸ αἰνομόροις πρβ. Ὅμ. Ἰλ. 22, 480 ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν, δύσμορος αἰνόμορον. Περὶ τῆς ἐπαναλήψεως τοῦ δι' ὧν ἴδε σημ. εἰς 124. — θανάτοιο τέλος, θάνατος, ὥσπερ τὰ ὁμηρικὰ θανάτοιο τέλος Ἰλ. 3, 309, Ὀδ. 18, 476, γάμοιο τέλος Ὀδ. 20, 74.

890. ἐμοιράσαντο, μέσως ἐμοίρασαν ἑαυτοῖς ἢ ἀλλήλοις, ὥσπερ καὶ ἐν τῇ συνηθείᾳ λέγομεν μέσως ἐμοιράσθησαν τὰ κτήματα. — ὀξυκάρδιοι ταὐτὸν τῷ καὶ ἐν τῇ κοινῇ ἡμῶν λαλιᾷ συνήθει ὀξύθυμοι. Πρβ. Ἀριστοφ. Σφηξ. 430 εἶά νυν, ὦ ξυνδικασταί, σφῆκες ὀξυκάρδιοι. — κτήματα, βλέπε 716, 773 κέ.

892 κέ. Ἡ συνάρτησις καὶ ὁ νοῦς τῶν λέξεων· τὸν δὲ διαλλακτῆρα καὶ διαιτητὴν αὐτῶν σίδηρον (869) οὐδεὶς τῶν φίλων ἑκατέρου μέμφεται, οὐδὲ δύναται νὰ εἴπῃ, ὅτι ὁ Ἄρης ἐχαρίσατο ἐκ μεροληψίας τῷ ἑτέρῳ. Πρβ. 926 κέ.

895. ὧδε, ὡς εἴωθεν συμβαίνειν τοῖς σιδήρῳ πεπληγμένοις.

896 κέ. Ὁ νοῦς· σιδηρόπληκτοι ὡσαύτως εἶναι αἱ τῶν πατρῴων τάφων (ἐν τῇ πατρῴᾳ γῇ) σκαφαί, ἤτοι σιδήρῳ ἐσκαμμένοι τάφοι ἀναμένουσιν αὐτούς. — τούς, ὡς 899, βλέπ. 179. — λάχαί, Σχολ. «αἱ σκαφαί· ὡς τὸ φυτὸν ἀμφελάχαινεν» (=ἐσκάλιζεν, Ὅμ. Ὀδ. 24, 242). Πρβ. σημ. εἰς Πέρσ. 190.

899 κέ. Ὁ νοῦς· ἠχεῖς θρῆνος προπέμπει αὐτοὺς εἰς τὸν τάφον, γόος δρυπτόμενος ὀνύχεσσι παρειάς (Ὅμ. Ὀδ. 2, 153), πλήρης στεναγμῶν καὶ θρήνων ἐκπεμπομένων ἀφ' ἑαυτῶν, λυπηρὸς καὶ ἀπεχθής, ἀμέτοχος χαρᾶς, δακρύων ἐκ μέσης καρδίας κατατηκομένης μοι ἐν ὀδυρμοῖς ἐπὶ τούτοις τοῖς δυσὶ βασιλεῦσι. Πρὸς τὸ δαϊκτὴρ πρβ. Χοηφ. 24 πρέπει παρῇσι φοινίοις ἀμυγμὸς ὄνυχος ἄλοκι νεοτόμῳ, Ὅμ.

Digitized by Google

τόστονος, αὐτοπήμων,
δαϊόφρων, οὐ φιλογαθής, ἐτύμως
δακρυχέων ἐκ φρενός, ἃ
κλαιομένας μου μινύθει
τοῖνδε δυοῖν ἀνάκτοιν. 905

1. πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν ἀντ. β'.
ὡς ἐρξάτην πολλὰ μὲν πολίτας,
ξένων τ' ἐπακτῶν στίχας
πολυφθόρους ἐν δαΐ.
2. δυσαίων σφ' ἁ τεκοῦσα 910
πρὸ πασᾶν γυναικῶν ὁπόσαι
τεκνογόνοι κέκληνται·
παῖδα τὸν αὑτᾶς πόσιν αὑτᾷ θεμένα
τούσδ' ἔτεχ', οἱ δ' ὧδ' ἐτελεύ-
τασαν ὑπ' ἀλλαλοφόνοις 915

Ἰλ. 19, 285 χερσὶ δ' ἄμυσσεν στήθεά τ' ἠδ' ἁπαλὴν δειρὴν ἰδὲ καλὰ πρόσωπα, ἐντεῦθεν δὲ δαΐκτωρ Ἰκ. 806 σημαίνει πολυπενθὴς καὶ ἀπαίσιος. Καλεῖται δὲ ὁ γόος αὐτόστονος (πρβ. ἀγάστονος 96 καὶ πολύστονος φάτις Εὐμ. 382) καὶ αὐτοπήμων ὡς ἔχων ἐν ἑαυτῷ στεναγμοὺς καὶ ἄλγη (Σχολ. «ἐν ἑαυτῷ τὸν στόνον ἔχων .. ἀφ' ἑαυτοῦ τὰ κακὰ ἔχων»). — δαϊόφρων, στυγνὸς καὶ ἀπεχθής. — κλαιομένας ἀνάκτοιν, ἕνεκα ἀνάκτων, ὡς Ὁμήρ. Ὀδ. 24, 425 τοῦ .. δακρυχέων, Ἰλ. 22, 424 τῶν πάντων οὐ τόσσον ὀδύρομαι, Εὐρ. Ἑκ. 1256 παιδὸς ἀλγεῖν. Περὶ τοῦ μέσου κλαίομαι πρβ. ἔμπροσθεν σημ. εἰς 858.

907 κέ. πολλὰ μὲν πολίτας ξένων τε .. στίχας ἀντί: πολλὰ μὲν πολίτας, πολλὰ δὲ ξένων στίχας, ὡς Χοηφ. 583 πολλὰ μὲν γᾶ τρέφει δεινὰ .. ἄχη πόντιαί τ' ἀγκάλαι κνωδάλων .. βρύουσι, Σοφ. Τραχ. 1012 πολλὰ μὲν ἐν πόντῳ κατά τε δρία πάντα καθαίρων, Εὐριπ. Μηδ. 430 πολλὰ μὲν ἁμετέραν ἀνδρῶν τε μοῖραν εἰπεῖν. Πολλάκις κεῖται οὕτω: πρῶτα μέν .. τε, ὡς Ἱκέτ. 415 κέ. — ἐπακτῶν, ὡς στράτευμ' ἐπακτὸν 570, 1019. — Ἡ σύνταξις τοῦ ἔρδειν διπλῆ αἰτιατικῆ εἶναι γνωστή. Πρβ. σημ. εἰς 1058.

909. πολυφθόρους συνῆπται τῷ στίχας (ἐξ ἀχρήστου ὀνομαστικῆς στίξ), οὐχὶ τῷ ξένων: πολλῶν ξένων ἐν πολέμῳ πεσόντων. — Ἡσύχ. «δαΐ· μάχῃ», ὁμηρικὴ λέξις (ἐν δαΐ λυγρῇ Ἰλ. 13, 286). Πρβ. σημ. εἰς Πέρσ. 260.

910. σφ' ἁ τεκοῦσα, ἡ τεκοῦσά σφε, ὡς Σοφ. Φιλ. 1242 μ' οὐπικωλύων, Οἰδ. Τ. 139 τοῦτον ὁ κτανών, 263 ταῦτα τοῖς μὴ δρῶσιν.

913. Τὸ ἀσύνδετον ἐν τῇ ἐπεξηγήσει τοῦ δυσαίων. Ἔπιθι σημ. εἰς Πέρσ. 391 κέ. — θεμένη αὑτῇ πόσιν, συζυγεῖσα ὡς ἄλοχος τῷ παιδί.

915. ἐτελεύτησαν ὑπὸ χερσίν, ὡς Ὁμ. Ἰλ. 3, 352 ἐμῇς ὑπὸ χερσὶ δάμασσον, Σοφ. Ἀντ. 975 ἀραχθὲν ..

Digitized by Google

χερσὶν ὁμοσπόροισιν.

1. ὁμοσπόροις δῆτα καὶ πανωλέθροις, στροφ. γ'.
διατομαῖς οὐ φίλοις
ἔριδι μαινομένᾳ,
νείκεος ἐν τελευτᾷ. 920
2. πέπαυται δ' ἔχθος, ἐν δὲ γαίᾳ
ζόα φονορύτῳ
μέμικται· κάρτα δ' εἴσ' ὅμαιμοι.
πικρὸς λυτὴρ νεικέων ὁ πόντιος
ξεῖνος ἐκ πυρὸς συθείς, 925
θηκτὸς σίδαρος· πικρὸς δὲ χρημάτων
ἴσος δατητὰς Ἄρης ἀρὰν πατρῴ-
αν τιθεὶς ἀλαθῆ.

1. ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι, ἀντ. γ'.
διαδότων παμάτων· 930

ὑφ' αἱματηραῖς χείρεσσι, Οἰδ. Τ. 202 ὑπὸ σῷ φθίσον κεραυνῷ.

917. ὁμοσπόροις (705) καὶ πανωλέθροις (χερσί). — δῆτα, βλέπε στίχ. 873. — πανωλέθροις, ἐπὶ ἐνεργητικῆς σημασίας, ὡς Ἱκέτ. 419 τὸν πανώλεθρον θεόν.

918. διατομή, τραῦμα καὶ πληγή. Πρβ. Εὐριπ. Ἑκ. 782 διατεμὼν χρόα. — οὐ φίλοις ἤτοι ἐχθίσταις. Αἱ ἀδελφικαὶ χεῖρες ἐπήνεγκον οὐχὶ ἀδελφοῖς προσηκούσας πληγάς.

920. νείκεος ἐν τελευτῇ: καὶ οὕτως ἀποθανόντων, οὐχὶ πρότερον, ἔληξεν ἡ φιλονεικία αὐτῶν.

921 κέ. ἐν γαίᾳ κτέ. Ἐν τῇ αἱματοφύρτῳ καὶ αἵματι ῥεούσῃ γῇ μέμικται ἡ ζωὴ αὐτῶν, ὥστε ἀπετελέσθη παρ' αὐτοῖς ἀληθὴς κοινότης αἵματος καὶ ὁμαιμοσύνη. — κάρτα, ὡς παρὰ τοῖς ὑστέροις τὸ ἀτεχνῶς λέγεται, ὅταν ὑποδηλῶται ἡ κυρία σημασία τῆς συνήθως ἐν μεταφορικῇ ἐννοίᾳ κειμένης ῥήσεως.

924 κέ. Βλέπε σημ. εἰς 64 καὶ 714. Πρὸς τὸ πόντιος πρβ. Σχολ. «πόντιος, ὅτι οἱ Χάλυβες παράλιοί εἰσιν. ἔθνος γὰρ ἐν τῷ Πόντῳ οἱ Χάλυβες, ὅθεν ὁ σίδηρος». — λυτὴρ νεικέων, πρβ. 892.

927 κέ. ἴσος δατητὴς (Σχολ. μεριστής), οὐδετέρῳ χαριζόμενος ἔδωκε πλέον, πρβ. 894. Ἡ περήχησις Ἄρης ἀρὰν κεῖται ἐν γνώσει τοῦ ποιητοῦ. Πρβ. Ὁμήρ. Ἰλ. 13, 481 δείδια δ' αἰνῶς Αἰνείαν, Ὀδ. 8, 493 Ἐπειὸς ἐποίησεν, Εὐριπ. Ἰφ. τ. ἐν Αὐλ. 297 βαρβάρους βαρίδας καὶ σημ. εἰς 565. — τιθεὶς ἀληθῆ, πρβ. 870.

930. Τῆς διανεμηθείσης κτήσεως — πᾶμα, κτῆμα, ὥσπερ πάσασθαι, κτήσασθαι (Σχόλ. εἰς Ὁμ. Ἰλ. 4, 433).

Digitized by Google

ὑπὸ δὲ σώματι γᾶς
πλοῦτος ἄβυσσος ἔσται.
2. ἰὼ πολλοῖς ἐπανθίσαντες
πόνοισι γενεάν·
τελευταῖαι δ' ἐπηλάλαξαν 935
Ἀραὶ τὸν ὀξὺν νόμον, τετραμμένου
παντρόπῳ φυγᾷ γένους.
ἔσταχε δ' Ἄτας τροπαῖον ἐν πύλαις,
ἐν αἷς ἐθείνοντο, καὶ δυοῖν κρατή-
σας ἔληξε δαίμων. 940

ΑΝΤΙΓΟΝΗ.

παισθεὶς ἔπαισας.

931. Εἴρηνται ταῦτα ἐν πικρᾷ εἰρωνείᾳ. Ἠγωνίσαντο περὶ τῆς κτήσεως τῆς πατρικῆς ἀρχῆς, νῦν δὲ πληρουμένης τῆς ἀπλήστου ταύτης ἐπιθυμίας, ἔχουσι ὑπὸ τὰ σώματα αὐτῶν μεγάλην ἄβυσσον γῆς (ἐν τῷ τάφῳ). — ἄβυσσος ἀπαντᾷ παρὰ τοῖς δοκίμοις μόνον ἐπιθετικῶς ἀντὶ τοῦ βαθύτατος καὶ ἄπειρος, ἡμεῖς δὲ ποιούμεθα χρῆσιν τῆς λέξεως οὐσιαστικῶς (ἡ ἄβυσσος), καθὰ ἀπαντᾷ καὶ παρὰ τοῖς μεταγενεστέροις.

933. ἐπανθίσαντες, ποιήσαντες τὸ γένος θάλλον πολλοῖς πόνοις. Πρβ. Σχόλ. εἰς Χοηφ. 150 ἐπανθίζειν «στέφειν ὡς ἄνθεσι» καὶ Σοφ. Τραχ. 1089 ἤνθηκεν (ἡ νόσος), ἐξώρμηκεν, αὐτόθι 999 μανίας ἄνθος (ἀκμὴ μανίας), Φιλ. 259 ἡ δ' ἐμὴ νόσος ἀεὶ τέθηλε κἀπὶ μεῖζον ἔρχεται.

935 κέ. Ὁ νοῦς· τελευταῖον δὲ ἐπαλαλάζουσαι ἔμελψαν αἱ Ἀραὶ ὀξύτονον μελῳδίαν, τραπέντος τοῦ γένους εἰς προτροπάδην φυγήν. το δὲ τροπαῖον τῆς Ἄτης ἔστηκεν ἐν αἷς ἐφονεύθησαν πύλαις καὶ νικήσασα τοὺς δύο κατεπραΰνθη ἡ τύχη. Πρβ. Χοηφ. 1073 ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει μετακοιμισθὲν μένος ἄτης, Σοφ. Ἀντ. 582 κέ. Πρὸς τὸ Ἀραὶ πρβ. 70, Εὐμ. 420 Ἀραὶ δ' ἐν οἴκοις γῆς ὑπαὶ κεκλήμεθα (διαλεγομένης Ἐρινύος). — δαίμων, ἔπιθι σημ. εἰς Πέρσ. 375 καὶ 475.

941—995. Νεκρικοὶ θρῆνοι τῆς Ἀντιγόνης καὶ Ἰσμήνης. Ἡ Ἀντιγόνη ἵσταται ἐγγὺς τοῦ νεκροῦ Πολυνείκους, ἡ δὲ Ἰσμήνη ἐγγὺς τοῦ Ἐτεοκλέους. Σύγκειται δὲ ὁ θρῆνος ἐκ τεσσάρων μερῶν· καὶ ἐν μὲν τῷ πρώτῳ καὶ τρίτῳ μέρει συνᾴδουσιν ἀεὶ ἐν συμμετρίᾳ οἱ στίχοι τῆς Ἰσμήνης τοῖς στίχοις τῆς Ἀντιγόνης, ἐν δὲ τῷ δευτέρῳ μέρει πλὴν τῆς ὁμοιότητος ταύτης ὑπάρχει καὶ ἡ συμμετρία μείζονός πως στροφῆς καὶ ἀντιστροφῆς, αἵτινες ἀμφότεραι ἀπολήγουσιν εἰς ἐφύμνιον τῶν ἀδελφῶν. Ἐν τῷ τετάρτῳ μέρει ὑπάρχει ἡ συμμετρία α β β α, ἐξ ὧν πάλιν α ὁμοῦ ὑπ' ἀμφοτέρων τῶν ἀδελφῶν ᾄδεται.

941. παισθεὶς (ὦ Πολύνεικες) ἔπαισας. Πρβ. Εὐρ. Φοιν. 1421 ἐξέτεινε δ' εἰς ἧπαρ ξίφος Ἐτεοκλέους ὁ πρόσθε Πολυνείκης πεσών.

Digitized by Google

ΙΣΜΗΝΗ.

κεῖσαι κατακτάς.

ΑΝΤΙΓΟΝΗ.

δορὶ δ' ἔκανες.

ΙΣΜΗΝΗ.

δορὶ δ' ἔθανες.

ΑΝΤΙΓΟΝΗ.

μελεόπονος. 945

ΙΣΜΗΝΗ.

μελεοπαθής.

ΑΝΤΙΓΟΝΗ.

ἴτω γόος.

ΙΣΜΗΝΗ.

ἴτω δάκρυ.

ΑΝΤΙΓΟΝΗ.

αἰαῖ. στροφ.

ΙΣΜΗΝΗ.

ἐέ. 951

ΑΝΤΙΓΟΝΗ.

μαίνεται γόοισι φρήν.

ΙΣΜΗΝΗ.

ἐν δὲ καρδία στένει.

942. κατακτάς, πρβ. Ὁμ. Ἰλ. 22, 323, Εὐρ. Ἑκ. 3, 696, Ἰφ. τ. ἐ. Τ. 715.

945. μελεόπονος, ὁ ἄθλια καὶ δακρυόεντα ἔργα ἐργασάμενος, ἐπὶ ἐνεργητικῆς σημασίας. Πρβ. Πέρσ. 323 πολύπονον δόρυ νωμῶν.

952. μαίνεται, παράβαλε σημείωσιν εἰς στίχον 821.

953. ἐν πρὸ τοῦ δὲ κεῖται ἐπιρρηματικῶς ἐπὶ τῆς σημασίας τοῦ, προσέτι, πρὸς τούτοις, ὡς Σοφ. Οἰδ. Τ. 182, Τραχ. 206.

Digitized by Google

ΑΝΤΙΓΟΝΗ.

ἰὼ ἰώ, πάνδυρτε σύ.

ΙΣΜΗΝΗ.

σὺ δ' αὖτε καὶ πανάθλιε. 955

ΑΝΤΙΓΟΝΗ.

πρὸς φίλου ἔφθισο.

ΙΣΜΗΝΗ.

καὶ φίλον ἔκτανες.

ΑΝΤΙΓΟΝΗ.

διπλᾶ λέγειν.

ΙΣΜΗΝΗ.

διπλᾶ δ' ὁρᾶν.

ΑΝΤΙΓΟΝΗ.

ἄχεα δοιὰ τάδ' ἐγγύθεν. 960

ΙΣΜΗΝΗ.

πέλας ἀδελφέ' ἀδελφεῶν.

ΑΝΤΙΓΟΝΗ. ΙΣΜΗΝΗ.

ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου
μέλαιν' Ἐρινύς, ἢ μεγασθενής τις εἶ.

ΑΝΤΙΓΟΝΗ.

αἰαῖ. ἀντ.

960 κέ. Ὁ νοῦς· διπλᾶ ἄχη ἐγγὺς ἡμῶν· ἀδελφὰ ἄχη ἐγγὺς ἡμῶν τῶν ἀδελφῶν. Ὁ ἰωνικὸς τύπος ἀδελφεός, ἀδελφεὴ ἀπαντᾷ καὶ Σοφ. Οἰδ. ἐ. Κ. 535, Οἰδ. Τ. 160 ἐν μελικοῖς μέρεσιν. — τάδε (960), δεικνυμένων τῶν πτωμάτων.

963 κέ. πότνια Ἐρινὺς (ὡς 871, Εὐμ. 952) σεμνὴ καὶ ἔνδοξος, τῆς λέξεως οὔσης ἐπιθέτου τῶν θεαινῶν καὶ σεβαστῶν θνητῶν δεσποινῶν. — μέλαινα, βλ. σημ. εἰς 682. — μεγασθενής, ὡς 70. Ὄντως ἀποβλέπων τις εἰς ταῦτα ἀνομολογεῖ ὅτι εἶναι μεγαλοδύναμος.

Digitized by Google

ΙΣΜΗΝΗ.

ἐέ. 966

ΑΝΤΙΓΟΝΗ.

δυσθέατα πήματα

ΙΣΜΗΝΗ.

τῇδ' ἔδειξας ἐκ φυγᾶς.

ΑΝΤΙΓΟΝΗ.

δδ' ἵκεθ' ὡς κατακτενῶν.

ΙΣΜΗΝΗ.

συθεὶς δὲ πνεῦμ' ἀπώλεσεν. 970

ΑΝΤΙΓΟΝΗ.

ὤλεσε δῆθ' ὅδε.

ΙΣΜΗΝΗ.

τόνδε δ' ἐνόσφισεν.

ΑΝΤΙΓΟΝΗ.

τάλαν μένος.

ΙΣΜΗΝΗ.

τάλαν πάθος.

968. τῇδε, ἐμοί. — ἐκ φυγῆς, κατελθὼν ἐκ τῆς φυγῆς. Δυσθέατα κακὰ ἠνάγκασάς με θεᾶσθαι κατελθὼν ἐκ τοῦ Ἄργους, ἔνθα ὡς φυγὰς διέτριβες.

969 κέ. ὅδε, ὁ Πολυνείκης. — συθείς, ἐξορμήσας καὶ ἐλθὼν (ἱκόμενος). Διὰ τοῦ: ἦλθεν, ἵνα φονεύσῃ, ἐλθὼν δὲ ἐφονεύθη, ἐξαίρεται τὸ πάθημα ἐν τραγικῇ περιπετείᾳ (πρβ. Ἀριστοτ. Ποιητ. κ. 11 ἔστι δὲ περιπέτεια μὲν ἡ εἰς τὸ ἐναντίον τῶν πραττομένων μεταβολή).

971 κέ. ὤλεσε, δηλ. πνεῦμα. — δῆθ', ἴδε σημ. εἰς στίχ. 873. — ἐνόσφισεν, δηλ. πνεύματος.

973 κέ. μένος, ἡ μανία τοῦ ἔργου, ἡ θερμουργὸς πρᾶξις, ὥστε τὸ πάθος ἀντιτίθεται τῷ μένος, ὡς 945 κέ.

Digitized by Google

ΑΝΤΙΓΟΝΗ.

διερὰ κήδε' ὁμαίμονα. 975

ΙΣΜΗΝΗ.

τρίπολα πήματα τλαμόνων.

ΑΝΤΙΓΟΝΗ. ΙΣΜΗΝΗ.

ἰὼ Μοῖρα βαρυδότειρα μογερά,
πότνιά τ' Οἰδίπου
μέλαιν' Ἐρινύς, ἦ μεγασθενής τις εἶ.

ΑΝΤΙΓΟΝΗ.

σὺ τοί νιν οἶσθα διαπερῶν, 980

ΙΣΜΗΝΗ.

σὺ δ' οὐδὲν ὕστερος μαθών,

975. Ὁ νοῦς· δακρυόεντες γόοι καὶ λῦπαι ὑπὲρ ὁμαιμόνων (πάρεισιν).

976. τρίπολα, κείμενον μεταφορικῶς ἀπὸ τοῦ πρὸ τοῦ σπορητοῦ τρὶς τοῦ ἐνιαυτοῦ ἀρουμένου χέρσου ἀγροῦ, κατὰ τὸ ἔαρ, τὸ θέρος καὶ τὸ φθινόπωρον (Ὁμ. Ἰλ. 18, 541 ἐν δ' ἐτίθει νειὸν [τὸ παρ' ἡμῖν νειάμα, νέος καὶ χέρσος ἀγρός, τὸ πρῶτον ἀρούμενος] μαλακήν, πίειραν ἄρουραν, εὐρεῖαν τρίπολον), σημαίνει ἐν θρήνοις πολλάκις ἀναπολούμενα, πολυθρήνητα. Πρβ. Σοφ. Ἀντιγ. 858 πατρὸς τριπόλιστον οἶκτον, Φιλοκτ. 1238 δὶς ταὐτὰ βούλει καὶ τρὶς ἀναπολεῖν μ' ἔπη; Πινδ. Νεμ. 7, 104 ταὐτὰ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει, Πλάτ. Φιλήβ. σελ. 60Δ εὖ δ' ἡ παροιμία δοκεῖ ἔχειν, τὸ καὶ δὶς καὶ τρὶς τό γε καλῶς ἔχον ἐπαναπολεῖν τῷ λόγῳ δεῖν. Πλὴν ἀλλ' ὅμως ἡ γραφὴ φαίνεται ἀμφίβολος. Πρβ. Κριτικὰς ἐπισημειώσεις.

980 κέ. νίν, τὴν Ἐρινύν. — διαπερῶν ἐν ᾗ σημασίᾳ καὶ παρὰ τῇ δημώδει ἡμῶν φωνῇ λεγούσῃ περ(ν)ῶ, ἀπέρασα πολλὰ κακά, πολλὰ βάσανα καὶ δυστυχίας, ἔτι δὲ καὶ πῶς περ(ν)ᾷς ἀντὶ τοῦ πῶς διάγεις. Σημαίνει δὲ τὸ περ(ν)ῶ παρ' ἡμῖν οὐ μόνον τὸ ὑφίστασθαι καὶ ὑπομένειν κακά, ὡς ἐνταῦθα (πρβ. Εὐριπ. Ἡρακλ. 830 μόχθους διεπέρασε), ἀλλὰ καὶ τὸ παρέρχεσθαι καὶ ἀπαλλάττεσθαι τῶν κακῶν, οἷον ἐπέρασα τὸ κακόν, τὴν ἀσθένειαν· ἐπευχόμενοι δέ τινι ἀνάρρωσιν καὶ ἀπαλλαγὴν ἀσθενείας ἢ ἄλλου τινὸς κακοῦ λέγομεν: περαστικά. Πρβ. καὶ τό: ἡ ἀρρώστια ἐπέρασε (= παρῆλθεν) καὶ τὰ τούτῳ ὅμοια. — Λέγει τοίνυν ἡ Ἀντιγόνη ἐνταῦθα: γινώσκεις τὴν δύναμιν τῆς Ἐρινύος (ὦ Πολύνεικες) ἐκ πείρας, ἡ δὲ Ἰσμήνη ἀποκρίνεται: καὶ σὺ (ὦ Ἐτεόκλεις) γινώσκεις αὐτὴν ἐκ συγχρόνου (τῇ τοῦ ἀδελφοῦ) πείρας.

Digitized by Google

ΑΝΤΙΓΟΝΗ.

ἐπεὶ κατῆλθες ἐς πόλιν,

ΙΣΜΗΝΗ.

δορός γε τῷδ' ἀντηρέτας.

ΑΝΤΙΓΟΝΗ.

ὁλοὰ λέγειν.

ΙΣΜΗΝΗ.

ὁλοὰ δ' ὁρᾶν. 985

ΑΝΤΙΓΟΝΗ.

ἰὼ πόνος,

ΙΣΜΗΝΗ.

ἰὼ κακά,

ΑΝΤΙΓΟΝΗ.

δώμασι καὶ χθονί,

ΙΣΜΗΝΗ.

καὶ τὸ πρόσω γ' ἐμοί.

ΑΝΤΙΓΟΝΗ.

ἰὼ δύστανε τῶν κακῶν ἄναξ. 990

ΙΣΜΗΝΗ.

ἰὼ πάντων πολυστονώτατε.

982 κέ. ἐπεὶ κατῆλθες (ὦ Πολύνεικες) ἐς πατρίδα, χρονικῶς, μετὰ τὴν κάθοδόν σου. — ἀντηρέτας, Σχολ. «ἀντιστάτης τῷ Ἐτεοκλεῖ». Πρβ. σημ. εἰς 270. — ὁλοὰ λέγειν, οἰκτρὸς λόγος. — ὁλοὰ δ' ὁρᾶν, οἰκτρὸν θέαμα.

989. τὸ πρόσω ἐμοὶ = πρὸ πάντων ἐμοί, δηλωτικὰ τῆς φιλαδελφίας.

990 κέ. ἰὼ ἄναξ δύστηνε (ἕνεκα) τῶν κακῶν. Ἡ Ἀντιγόνη προσφωνεῖ τὸν Ἐτεοκλέα, ἡ δὲ Ἰσμήνη τὸν Πολυνείκη.

Digitized by Google

ΑΝΤΙΓΟΜΗ. ΙΣΜΗΝΗ.

ἰὼ δαιμονῶντες ἐν ἄτᾳ.

ΑΝΤΙΓΟΝΗ.

ἰώ σφε ποῦ θήσομεν χθονός;

ΙΣΜΗΝΗ.

ἰώ, ὅπου τιμιώτατον.

ΑΝΤΙΓΟΝΗ. ΙΣΜΗΝΗ.

ἰὼ μνῆμα πατρὶ πάρευνον. 995

ΚΗΡΥΞ.

δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ
δήμου προβούλοις τῆσδε Καδμείας πόλεως·

992. Πρβ. σημ. εἰς Πέρσ. 727, Χο. 564 δαιμονᾷ δόμος κακοῖς ('Ησύχ. δαιμονᾷ· ὑπὸ δαίμονος κατέχεται).

993. Σχολ. «εἰς ποῖον τῆς γῆς τόπον».

994. Σχολ. «ὅπου τιμιώτατον μέρος».

995. μνῆμα (θήσομεν) πατρὶ πάρευνον (Σχολ. παρὰ τὴν εὐνὴν τοῦ πατρὸς) ἤτοι θάψομεν αὐτοὺς ἐν τάφῳ ἐγγὺς τοῦ πατρικοῦ. Πρβ. Εὐρ. Ἱκέτ. 937 ποῦ δῆτα θήσεις μνῆμα τῷδε χωρίσας; Ἐκ τούτων συνάγεται, ὅτι ὁ Αἰσχύλος ἕπεται τῇ ἐπικῇ παραδόσει, καθ' ἣν ὁ Οἰδίπους ἀπέθανε καὶ ἐτάφη ἐν Θήβαις. Πρβ. Εἰσαγ. σελ. 323, 330. Κατὰ ἑτέραν παράδοσιν μνημονευομένην παρὰ Σχολίῳ εἰς Οἰδ. ἐ. Κ. στ. 91 ὁ Οἰδίπους ταφεὶς κατ' ἀρχὰς ἔν τινι τόπῳ τῆς Βοιωτίας καλουμένῳ Κεῷ καὶ ἐξορυχθεὶς εἶτα ἐντεῦθεν κατετέθη ἐν ἑτέρᾳ τῆς Βοιωτίας πόλει παρὰ τὸν Ἀσωπόν, καλουμένῃ Ἐτεωνῷ. Κατὰ τὸν Παυσανίαν 1, 28, 7 ἐπειρῶντο νὰ ποιήσωσι συνάδοντα τὸν Ὅμηρον (Ἰλ. 23, 679) τῇ παραδόσει, καθ' ἣν τὸ μνῆμα Οἰδίποδος ἔκειτο ἐν Ἀθήναις, λέγοντες ὅτι τοῦ Οἰδίποδος ἀποθανόντος ἐν Θήβαις ἐκομίσθησαν εἶτα τὰ ὀστᾶ ἐκ Θηβῶν εἰς Ἀθήνας.

996. Περὶ ταύτης τῆς ἐξόδου τοῦ δράματος, ἥτις φαίνεται ὀψιαίτερον ἔμβλημα, ἴδε Εἰσαγ. σελ. 334 κέ.

996 κέ. τὰ δόξαντα καὶ δοκοῦντα τοῖς δήμου προβούλοις: ὅ,τι ἔδοξε τῇ βουλῇ τοῦ δήμου καὶ νῦν διαμένει ἔμπεδος ἀπόφασις. Πρβ. Σχολ. ν. «τίνος χάριν ἔθηκεν ἀμφοτέρους χρόνους τὸν ἐνεστῶτά τε καὶ παρῳχημένον; καὶ φαμὲν τὸν μὲν παρῳχημένον διὰ τὸ ἅπαξ δόξαι αὐτοῖς, ὅτε περὶ τούτου ἡ σκέψις ἦν, τὸν δὲ ἐνεστῶτα διὰ τὸ καὶ νῦν ἔτι δοκεῖν». Πρόβουλοι ἐκαλεῖτο ἡ βουλὴ κατὰ τὸν Ἀριστοτέλην (Πολ. 6, 15 καὶ 7, 8) ἐν τῇ ὀλιγαρχικῇ πολιτείᾳ, βουλὴ δὲ ἐν τῇ δημοκρατικῇ. Ἐνταῦθα δὲ συνάγεται ἐκ στίχ. 1016 κέ., ὅτι ὁ ποιητὴς διενοήθη ποιάν τινα ἀντιβασι-

Digitized by Google

Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς 998
τεθνηκότ' οὔπερ τοῖς νέοις θνῄσκειν καλὸν 1002
θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς· 999
[στέγων γὰρ ἐχθροὺς θάνατον εἷλετ' ἐν πόλει, 1000
ἱερῶν πατρῴων ὅσιος ὢν μομφῆς ἄτερ].
οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν· 1003
τούτου δ' ἀδελφὸν τόνδε Πολυνείκους νεκρὸν

λείαν, ἀναλαβοῦσαν τὴν ἀρχὴν μετὰ τὸν θάνατον τοῦ ἄνακτος Ἐτεοκλέους, ὥσπερ καὶ ἡ πρὸ τῆς τῶν τετρακοσίων πολιτείας καταστᾶσα ἀρχὴ τῶν δέκα ὠνομάζετο κατὰ τὸν Λυσίαν (12, 65) πρόβουλοι. Ὡσαύτως δὲ καὶ τὸ ἐν Ἰσθμῷ συνέδριον, τὸ βουλευόμενον ὑπὲρ σωτηρίας τῆς Ἑλλάδος καὶ ὑπὲρ ἀποκρούσεως τοῦ εἰς τὴν Εὐρώπην μέλλοντος νὰ διαβῇ Πέρσου, ὀνομάζεται ὑπὸ τοῦ Ἡροδότου (7, 72) πρόβουλοι, ἔτι δὲ καὶ οἱ δέκα ἀντιπρόσωποι τῶν Ἰώνων ἐν τῷ Πανιωνίῳ (Ἡροδ. 6, 7) εἶχον τὴν αὐτὴν ἐπωνυμίαν. Οἱ πρόβουλοι οὗτοι φαίνονται διάφοροι τῶν ἐν ταῖς ἑλληνικαῖς πόλεσι προβούλων τῆς βουλῆς, τῶν ἐκφερόντων τὰ ἑαυτῶν προβουλεύματα εἰς τὴν ἐκκλησίαν τοῦ δήμου πρὸς ἐπιψήφισιν.

998 κέ. Ἐτεοκλέα μὲν τόνδε, ὁ κῆρυξ δείκνυσι τῇ χειρὶ τὸν νεκρόν. — ἐπ' εὐνοίᾳ χθονός, ἐν εὐνοίᾳ πρὸς τὴν πατρίδα, εὔνουν ὄντα χθονί, ὡς Σοφ. Οἰδ. ἐ. Κ. 1554 ἐπ' εὐπραξίᾳ (= εὐπραγοῦντες) μέμνησθέ μου θανόντος αἰεί, Εὐρ. Ἰφ. τ. ἐ. Τ. 1490 ἴτ' ἐπ' εὐτυχίᾳ τῆς σῳζομένης μοίρας εὐδαίμονες ὄντες, Ἡρακλ. 348 αἴλινον μὲν ἐπ' εὐτυχεῖ μολπᾷ Φοῖβος ἰαχεῖ. — Ἐν τῷ: οὔπερ .. καλὸν (νεωτερικώτερον «ἐν τῷ πεδίῳ τῆς τιμῆς») ὑπομιμνήσκει ὁ Σχολ. Ὁμ. Ἰλ. 12, 243 εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης. — Πρὸς δὲ τὴν ἔννοιαν πρβ. Σοφ. Ἀντ. 194 Ἐτεοκλέα μέν, ὃς πόλεως ὑπερμαχῶν ὄλωλε τῇδε, πάντ' ἀριστεύσας δόρει, τάφῳ τε κρύψαι κτέ.

1000 κέ. στέγων, Σχολ. «εἴργων», πρβ. σημ. εἰς 202. — ἱερῶν πατρῴων (γεν. ἀναφορικὴ) ὅσιος ὢν ἤτοι ὡς πρὸς τὰ πατρῷα ἱερὰ ὢν ἁγνός, οὐχὶ δὲ ὥσπερ ὁ Πολυνείκης (1008 κέ.) ἐναγὴς καὶ ἀτιμαστὴρ τῶν πατρῴων θεῶν. Ἡ ῥῆσις εἶναι ἀσαφής, τὸ δὲ θάνατον εἷλετ' ἐν πόλει καὶ διεστραμμένον καὶ ἀπροσδιόνυσον, καὶ τούτων ἕνεκα ὑποληπτέον ὡς νόθους τοὺς δύο στίχους, ἄλλως τε καὶ ὄντας περιττοὺς μετὰ τὰ ἐπ' εὐνοίᾳ χθονὸς τεθνηκότα κτέ. Πρβ. Κριτ. ἐπισημ.

1003. ἐπέσταλται, ἐντέταλται, παρήγγελται, προσυπακουστέον καὶ ἐν τῷ ἑχομένῳ στίχῳ.

1004. Πρβ. Σοφ. Ἀντιγ. 198 τὸν δ' αὖ ξύναιμον τοῦδε, Πολυνείκη λέγω, ὃς γῆν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς, φυγὰς κατελθών, ἠθέλησε μὲν πυρὶ πρῆσαι κατ' ἄκρας . . . τοῦτον πόλει τῇδ' ἐκκεκήρυκται τάφῳ μήτε κτερίζειν μήτε κωκῦσαί τινα, ἐᾶν δ' ἄθαπτον καὶ πρὸς οἰωνῶν δέμας καὶ πρὸς κυνῶν ἐδεστὸν αἰκισθέν τ' ἰδεῖν, Εὐρ. Φοιν. 1628 τόνδε δ' ὃς πέρσων πόλιν πατρίδα σὺν ἄλλοις ἦλθε, Πολυνείκους νέκυν ἐκβάλετ' ἄθαπτον τῆσδ' ὅρων ἔξω χθονός.

Digitized by Google

ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσίν, 1005
ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονός,
εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ
τῷ τοῦδ'. ἄγος δὲ καὶ θανὼν κεκτήσεται
θεῶν πατρῴων, οὓς ἀτιμάσας ὅδε
στράτευμ' ἐπακτὸν ἐμβαλὼν ἦρει πόλιν. 1010
οὕτω πετηνῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ
ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν,
καὶ μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα

1005. ἁρπαγὴν κυσὶν κατὰ τὸ Ὁμηρικόν: ἑλώρια τεῦχε κύνεσσιν οἰωνοῖσί τε πᾶσι. Πρβ. Εὐριπ. Ἡλ. 896 θηρσὶν ἁρπαγὴν πρόθες, Ἱκέτ. 282 μήδ' ἀτάφους . . χάρματα θηρῶν . . παῖδας . . . κατίδῃς, Φοιν. 1628 ἐᾶν ἄκλαυτον ἄταφον οἰωνοῖς βοράν, Σοφ. Ἀντιγ. 29 ἐᾶν ἄκλαυτον ἄταφον οἰωνοῖς γλυκὺν θησαυρὸν εἰσορῶσι πρὸς χάριν βορᾶς.

1006. ὄντα ἀναστατῆρα, ὡς ὄντα τὸ κατ' αὐτὸν (ὅσον ἤρτητο ἐξ αὐτοῦ) πορθητήν. Ἡ μεταβολὴ ὄντ' ἂν ἀναστατῆρα συνάδει μὲν τῇ ἑπομένῃ ὑποθετικῇ προτάσει, μεισῖ ὅμως τὴν αἰτίαν τῆς ἀρνηθείσης ταφῆς. Πρβ. Σοφ. Αἴ. 1126 κτείναντα, Οἰδ. ἐ. Κ. 1008 κλέψας.

1008. Πρβ. Ἱκέτ. 234 οὐδὲ μή 'ν Ἅιδου θανὼν φύγῃ ματαίων αἰτίας πράξας τάδε. Ἐνταῦθα τὸ ἄγος καὶ τὸ μίασμα, ἃ φέρει ἐκ τῶν πατρῴων θεῶν, μνημονεύονται ὡς αἴτια τοῦ δίκας λαβεῖν καὶ παρὰ τοῦ ἀποθανόντος, διότι ἄλλως ἰσχύει ὁ νόμος: θάνατος ἀνθρώποισι νεικέων τέλος ἔχει Εὐριπ. Ἀντ. (ἀποσπ. 176).

1010. Πρβ. 570. — ἦρει, ἐπειρᾶτο ἑλεῖν.

1011 κέ. πετηνῶν ὑπ' οἰωνῶν ταφέντα: ὡσαύτως Σοφ. Ἡλ. 1488 κτανὼν πρόθες ταφεῦσιν ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν. Ὅθεν ὁ Γοργίας ἔλεγε τοὺς γῦπας ἐμψύχους τάφους (Λογγ. 3, 2). Πρβ. καὶ Ennius Annal. 142 volturus crudeli condebat membra sepulcro, Lucret. 5, 991 vivo sepeliri viscera busto, ἔτι δὲ πρὸς τούτοις Ὁμ. Ὀδ. 3, 258 τῷ κε οὐδὲ θανόντι χυτὴν ἐπὶ γαῖαν ἔχευαν, ἀλλ' ἄρα τόν γε κύνες τε καὶ οἰωνοὶ κατέδαψαν κείμενον ἐν πεδίῳ. — τὸ ἐπιτίμιον, τὴν ἐπιτύμβιον τιμήν, τὴν ἐσομένην αὐτῷ ἄτιμον (ἀτίμως). Πρβ. Σοφ. Ἡλ. 915 ἀλλ' ἔστ' Ὀρέστου ταῦτα τἀπιτίμια (Σχολ. «τὰ ἐπὶ τῇ τιμῇ γινόμενα τοῦ πατρός»). Ἄλλως ἐπιτίμια σημαίνει τὸν μισθόν, τὰ ἐπίχειρα, τὴν τιμωρίαν, πρβ. Σοφ. Ἡλ. 1382 τἀπιτίμια τῆς δυσσεβείας οἷα δωροῦνται θεοί, Εὐριπ. Ἑκ. 1086 δράσαντι δ' αἰσχρὰ δεινὰ τἀπιτίμια δαίμων ἔδωκεν, Ἡροδ. 4, 80 καὶ σημ. εἰς Πέρσ. 825.

1013. ὁμαρτεῖν, ἐπακολουθεῖν, παρέπεσθαι, συμβαίνειν, γίγνεσθαι. — τυμβοχόα χειρώματα, ὑπὸ τῆς χειρὸς γενόμεναι ἐπισωρεύσεις χώματος γῆς πρὸς ἀνέγερσιν τύμβου. Πρβ. Χοηφ. 350 πολύχωστον τάφον (ὑψηλόν), Ὁμήρ. Ὀδ. 24, 80 ἀμφ' αὐτοῖσι δ' ἔπειτα μέγαν καὶ ἀμύμονα τύμβον χεύαμεν (χέοντες χῶμα ἐποιήσαμεν), Ἰλ.

Digitized by Google

μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν,
ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο. 1015
τοιαῦτ' ἔδοξ' ἐν τῷδε Καδμείων τέλει.

ΑΝΤΙΓΟΝΗ.

ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω·
ἢν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ,
ἐγώ σφε θάψω κἀνὰ κίνδυνον βαλῶ
θρηνοῦσ' ἀδελφὸν τὸν ἐμόν, οὐδ' αἰσχύνομαι 1020
ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει.
δεινὸν τὸ κοινὸν σπλάγχνον οὗ πεφύκαμεν,
μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρός.
τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῶν,

7, 336 τύμβον δ' ἀμφὶ πυρὴν ἕνα χεύομεν ἐξαγαγόντες ἄκριτον ἐκ πεδίου καὶ Ἡροδ. 7, 117 ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή.

1014. προσσέβειν, πρὸς τῷ τύμβῳ, πλὴν τοῦ τύμβου θρήνοις σέβειν. — ὀξυμόλποις οἰμώγμασι, ὀξυφώνοις οἰμωγαῖς. Πρβ. 936 τὸν ὀξὺν νόμον.

1015. Περὶ τῆς θέσεως τοῦ δὲ βλ. σημ. εἰς 41. — ἐκφορᾶς (γενομένης) ὑπὸ φίλων.

1016. Τοιαῦτα ἔδοξε τοῖς ἐν τέλει τῶν Καδμείων περὶ τοῦδε. Πρβ. 1003. — τέλει = τοῖς ἐν τέλει.

1017. ἐγὼ δέ γε, τὸ γὲ συνάπτεται τῷ ἐγώ. — προστάταις, τοῖς ἐν τέλει, τοῖς προβούλοις.

1019. ἀναβαλῶ κίνδυνον, τολμήσω, ὥσπερ Εὐριπ. Ἡρακλείδ. 148 κίνδυνον ἐξ ἀμηχάνων ῥίπτοντες, Θουκ. 4, 85 κίνδυνον τοσόνδε ἀνερρίψαμεν (πρβ. αὐτόθι 95, 2 καὶ 6, 13, ἔτι δὲ καὶ 5, 103, 1), Εὐρ. Ῥήσ. 154 κίνδυνον ῥίψαι, Ἀριστοφ. ἀποσπ. 545 φράζε τοίνυν, ὡς ἐγώ σοι πᾶς ἀνέρριμμαι κύβος.

1021. τήνδε ἀναρχίαν ἄπιστον (827) ἔχουσα (ἀπιστοῦσα, ἀπειθοῦσα) πόλει, δεικνῦσα ἐν τούτῳ ἀναρχίαν καὶ ἀπείθειαν τῷ κοινῷ τῆς πόλεως.

1022. δεινόν, μεγάλην δύναμιν ἔχον καὶ ῥοπήν. Πρβ. Προμ. 39 τὸ συγγενές τοι δεινὸν ἥ θ' ὁμιλία, Σοφ. Ἠλ. 770 δεινὸν τὸ τίκτειν ἐστίν, Εὐριπ. Φοιν. 355 δεινὸν γυναιξὶν αἱ δι' ὠδίνων γοναί.

1023. μητρὸς .. πατρός, συνάπτεται, ὥσπερ μηνύει καὶ ἡ ἀπό, τῷ πεφύκαμεν, οὐχὶ τῷ σπλάγχνον. Πρὸς τὸ σπλάγχνον πρβ. Σοφ. Ἀντ. 1066 τῶν σῶν αὐτὸς ἐκ σπλάγχνων ἕνα νέκυν . . . ἀντιδοὺς ἔσῃ, πρὸς δὲ τὴν ἐπανάληψιν τῆς προθέσεως ἀπὸ καὶ εἰς τὸ μητρὸς ἵδε σημ. εἰς Πέρσ. 495.

1024 κέ. Ὁ νοῦς· ὅθεν ἑκουσία μετὰ ἀκουσίου κοινώνει τῶν κακῶν ἐν φιλαδέλφῳ φρονήματι. Ὁ ἀδελφὸς ἄκων ἐνέπεσε τῇ δυστυχίᾳ καὶ τοῖς κακοῖς, αὕτη δὲ μετέχει ἑκουσίως τῆς δυστυχίας τοῦ ἀδελφοῦ. — ψυχή, πρβ. Ὁμ. Ὀδ. 20, 18 τέτλαθι δή κραδίη, Ἀρχιλ. ἀπόσπ. 66 θυμὲ θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε, Θεόγν. 695 οὐ δύναμαί σοι, θυμέ, παρασχεῖν ἄρ-

Digitized by Google

ψυχή, θανόντι ζῶσα συγγόνῳ φρενί. 1025
τούτου δὲ σάρκας οὔτι κοιλογάστορες
λύκοι πάσονται· μὴ δοκησάτω τινί.
τάφον γὰρ αὐτὴ καὶ κατασκαφὰς ἐγώ,
γυνή περ οὖσα, τῷδε μηχανήσομαι,
κόλπῳ φέρουσα βυσσίνου πεπλώματος, 1030
καὐτὴ καλύψω. μηδέ τῳ δόξῃ πάλιν·
θάρσει παρέσται μηχανὴ δραστήριος.

ΚΗΡΥΞ.

αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τάδε.

ΑΝΤΙΓΟΝΗ.

αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί.

μενα πάντα· τέτλαθι, 877, 1029, Σοφ. Τραχ. 1260 ὦ ψυχὴ σκληρά, Εὐριπ. Μηδ. 1242 ἀλλ' εἶ' ὁπλίζου, καρδία, 1056, ἀπόσπ. 924 μή μοι λεπτῶν θίγγανε μύθων, μή μοι, ψυχή. Ἐν ὁμοίῳ δὲ τρόπῳ καὶ ἐν τῇ κοινῇ συνηθείᾳ γίνεται χρῆσις ἐναλλὰξ τοῦ τε ψυχὴ καὶ τοῦ καρδία. — συγγόνῳ φρενί, δεικνῦσα εὔνοιαν προσήκουσαν τῷ αὐταδέλφῳ φρονήματι.

1026. κοιλογάστορες, Σχολ. μεγαλογάστορες. Ὑπεμφαίνει τὸ κενὸν τῶν λαγόνων καὶ διὰ τοῦτο τὴν βουλιμίαν τῶν πεινα λέων λύκων. Πρβ. Θεοκρ. Εἰδύλ. 3, 52 κεισεῦμαι δὲ πεσὼν καί τοι λύκοι ὧδέ μ' ἔδονται.

1027. πάσονται, Σχολ. γεύσονται.

1029. τῷδε, τῷ ἀδελφῷ.

1030. φέρουσα. Τὸ ἀντικείμενον ἐξάγεται ἐκ τῶν προηγουμένων τάφον καὶ κατασκαφάς. Πρβ. Σχολ. «τῷ τοῦ βυσσίνου πέπλου κόλπῳ τὴν γῆν παρακομίζουσα, ὡς ἐπιβάλλειν μέλλουσα διὰ τὸ δρύττειν μὴ δύνασθαι», Σοφ. Ἀντ. 429 καὶ χερσὶν εὐθὺς διψίαν φέρει κόνιν, 256 λεπτὴ δὲ . . ἐπῆν κόνις.

1031. καλύψω, γῇ ἢ κόνει. — μηδὲ . . πάλιν (καὶ μηδεὶς βουλεύσηται ἐναντίσν, μηδεὶς ἐναντιωθῇ ἐμοὶ δόγμασιν) ἀνάγεται εἰς τὸ δόγμα τῶν προβούλων, ᾧτινι ἀρνεῖται τὸ κῦρος.

1032. Τὸ θάρρος εὑρήσει μηχανὴν καὶ τρόπον πρὸς ἐκτέλεσιν τοῦ σχεδίου τῆς ταφῆς. Πρβ. μηχανὴ λυτήριος Εὐμ. 649, τύχη πρακτήριος Ἱκέτ. 532.

1033. πόλιν βιάζεσθαι τάδε, βίᾳ τῆς πόλεως ποιεῖν τάδε, ὡς Σοφ. Ἀντ. 79 βίᾳ πολιτῶν δρᾶν ἔφυν ἀμήχανος, 59 νόμου βίᾳ, 663 νόμους βιάζεται.

1034. αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοί, ἡ ἐπανάληψις τοῦ αὐδῶ καὶ τὸ ἐμοὶ ἐκδηλοῦντα τὴν ἀγανάκτησιν τῆς εὐγενοῦς παρθένου παραινίσσονται ἅμα καὶ τὸ αὔθαδες καὶ ἀλαζονικὸν τῶν πολλάκις ὡς ἀρχόντων προσφερομένων κηρύκων ἐν τῇδε τῇ ἐννοίᾳ: τοιαῦτα περισσὰ καὶ ἀνόητα

Digitized by Google

ΚΗΡΥΞ.

τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακά. 1035

ΑΝΤΙΓΟΝΗ.

τράχυν', ἄθαπτος δ' οὗτος οὐ γενήσεται.

ΚΗΡΥΞ.

ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ;

κηρύγματα κήρυσσε ἄλλοις, οὐχὶ δὲ ἐμοί, ἤτοι ἔργον ἔχεις τὸ κηρύσσειν, οὐχὶ δὲ τὸ κελεύειν καὶ κομπολακεῖν· ὅθεν μὴ ποίει ὅπερ οὐ παρήγγελσαι.

1035. Ὁ ἄγγελος συνετισθεὶς διὰ τῆς ἀποκρίσεως τῆς Ἀντιγόνης πειρᾶται νὰ πείσῃ αὐτὴν λέγων, ὅτι ὁ δῆμος ἀπαλλαγεὶς τῶν πολεμίων ἔσται τραχὺς κατ' αὐτῆς θελούσης νὰ θάψῃ τὸν πορθητὴν τῆς πόλεως. Πρβ. Προμ. 35 ἅπας δὲ τραχὺς ὅστις ἂν νέον κρατῇ.

1036. τράχυνε, Σχολ. «λέγε πολλάκις, τραχὺς ἔσται ὁ δῆμος, ἀλλ' ὅμως οὐκ ἀναστείλῃς με θάψαι». Τῆς ὁμοίας ἐννοίας ἔχονται τὰ εἰς ιζω ῥήματα, οἷον ἀδελφίζειν, περὶ οὗ Κοραῆς ὁ πάνυ σημειοῦται εἰς Ἰσοκρ. Αἰγινητικὸν σελ. 281 τάδε «Τὸ ἀδελφίζειν ἀδελφὸν καλεῖν ἐστιν, ὡς ἐξηγεῖται ὁ Ἁρποκρατίων . . Σημείωσαι δὲ τὸν τύπον τοῦ ἀδελφίζω τῆς ποιητικῆς μὲν μᾶλλον ἰδέας καὶ ταύτης κωμικῆς ὑπάρχοντα, κατὰ διαλογικὴν μέντοι ἄδειαν ὧδε παρειλημμένον· τῶν γὰρ τριῶν ποιητῶν, οὓς Ἁρποκρατίων ὡς χρησαμένους τῇ λέξει παρὰ τὸν Ἰσοκράτην παρατίθεται, οἱ δύο εἰσὶ Κωμικοί, ὅ τε Στράτις καὶ ὁ Ἀπολλοφάνης. Τούτοις προσθήσω καὶ τὸν Ἀριστοφάνην, τοῦτο μὲν ἐν οἷς (Σφ. 652) πρὸς τὸν εἰπόντα Βδελυκλέωνα «ἀλλ' ὦ πάτερ ἡμέτερε Κρονίδη . .» ὑποβάλλοντα παράγει τὸν Φιλοκλέωνα «. . παῦσαι καὶ μὴ πατέριζε», τουτέστι μὴ κάλει πατέρα· τοῦτο δὲ ἐν οἷς (Θεσμοφ. 616) πρὸς τὸν φήσαντα «Στραγγουριῶ γάρ. ἐχθὲς ἔφαγον κάρδαμα» ἕτερον ποιεῖ λέγοντα «τί καρδαμίζεις; . .» ἤγουν τί περὶ καρδάμων λέγεις ἢ μνημονεύεις; Τὰ τοιαῦτα δὲ ἁπαλωτέρας καὶ παιζούσης μᾶλλον ἢ σπουδαζούσης Μούσης ῥήματα σώζεται καὶ ἐν τῇ παρ' ἡμῖν συνηθείᾳ, οἷον τί παπαδίζεις; φαίμεν ἂν πρὸς τὸν προενεγκόντα τυχὸν τὸ τοῦ Παπᾶ ὄνομα, καὶ ἄλλα πολλὰ παραπλήσια, ὧν καλῶς ἂν εἶχε τά γε μᾶλλον ἐν χρήσει καταχωρίζειν ἐν τοῖς Δεξικοῖς, εἰ διὰ μηδὲν ἄλλο, ἀλλ' οὖν διά γε τὸ πατρώζοντας ἡμᾶς ἐν πολλοῖς ἀποδείξαι, καὶ ἐπὶ τὴν τῆς ἀρχαίας γλώσσης ἀκριβεστέραν εἴδησιν παροξῦναι, ὅπως ἂν ἐγγένοιτό ποθ' ἡμῶν ἑκάστῳ μεγαλοφρόνως τε καὶ μεγαλοφώνως ἀναβοῆσαι τὸ ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι. Οἱ δ' ἂν τῶν προγόνων οὐχ ὅπως οὐδένα λόγον ποιοῦνται, ἀλλὰ καὶ τοὺς παρ' ἐκείνοις ἐνδοξοτάτους ἐπὶ σοφίᾳ καὶ ἀρετῇ βλασφημοῦντες, τοιαῦτα λέγειν οὐκ ὀκνοῦσιν, ἅπερ οὔτ' Ἄνυτος οὔτε Μέλητος εἰπεῖν ἐτόλμησαν, τούτων τε καὶ τῶν τοιούτων πέρι εὔστομα κείσθω, ἵνα μή τι φλαῦρον ἀναγκάζωμαι λέγειν».

1037. Ἔπιθι σημ. εἰς Πέρσ. 254.

Digitized by Google

ΑΝΤΙΓΟΝΗ.

ἤδη τὰ τοῦδε διατετίμηται θεοῖς.

ΚΗΡΥΞ.

οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.

ΑΝΤΙΓΟΝΗ.

παθὼν κακῶς κακοῖσιν ἀντημείβετο. 1040

ΚΗΡΥΞ.

ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν.

ΑΝΤΙΓΟΝΗ.

ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.
[ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει].

1038. Σχολ. «τὰ περὶ τῆς τιμῆς τούτου ὑπὸ θεῶν κέκριται». Μᾶλλον δέ: τὰ τῆς τιμῆς τούτου διεπεράνθησαν (ἔληξαν) νῦν ὑπὸ τῶν θεῶν, ἤτοι μετὰ τὸν θείᾳ μοίρᾳ ἐπισκήψαντα θάνατον πρόκειται νῦν οὐχὶ περὶ τιμῆς, ἀλλὰ περὶ ἁπλῆς ταφῆς ὀφειλομένης τοῖς νεκροῖς. Πρβ. Ἡσύχ. «διαπεφρούρηται βίος. Αἰσχύλος Φρυξίν· οἷον ἡ διὰ τοῦ βίου φρουρὰ συντετέλεσται ἢ διελήλυθεν ὁ χρόνος» καὶ Εὐριπ. Ἱππολ. 1456 ΘΗΣ. μή νυν προδῷς με, τέκνον, ἀλλὰ καρτέρει. ΙΠΠ. κεκαρτέρηται τἄμ' (συντετέλεσται, ἐτελείωσεν ἡ καρτερία μου). ὄλωλα γάρ, πάτερ. — οὐ, πρὶν . . . βαλεῖν: ἀλλ' οὐ πρότερον τέθνηκεν πρὶν εἰς κίνδυνον καταστῆσαι τήνδε τὴν χώραν. Πρὸς τὸ κινδύνῳ βαλεῖν πρβ. Προμ. 732 θυμῷ βάλε, Σοφ. Φιλ. 67 λύπην πᾶσιν Ἀργείοις βαλεῖς, Εὐρ. Φοιν. 1535 σκότον ὄμμασι σοῖσι βαλών.

1040. παθὼν κακῶς (ὑπὸ τοῦ Ἐτεοκλέους) κακοῖσιν ἀντημείβετο (αὐτόν). Πρβ. Σοφ. Ἀντ. 643 ὡς καὶ τὸν ἐχθρὸν ἀνταμύνωνται κακοῖς.

1041. Σχολ. «ὑπὸ μόνου τοῦ Ἐτεοκλέους ἀδικηθεὶς πρὸς πάντας ἐπολέμησε τοὺς Θηβαίους».

1042 κέ. Ἔρις ὡς ὑστάτη θεὰ περαίνει τὸν διάλογον ἤτοι ὁ διάλογος τῶν ἐριζόντων ὕστατον (οὐδέποτε) περαίνεται. Ἄλλως Σχολ. νεώτ. «τῶν γὰρ πολλῶν λόγων τὸ τέλος οὐκ ἔστιν ἕτερον ἢ μάχη». Ὁ στίχος φαίνεται παροιμιώδης προσόμοιος τῷ παρὰ τῷ Σουίδᾳ φερομένῳ λ. ἔρις «ἔρις <δ'> ἔριν τίκτουσα προσμνᾶται (ἀναγν. προσμᾶται) λόγον». Ταῦτα εἰποῦσα λύει ἡ Ἀντιγόνη τὸν ἀπέραντον διάλογον, ἵνα ἐπιχειρήσῃ τῷ ἔργῳ. Διὰ ταῦτα ὁ ἐχόμενος στίχος ταράττων τὴν στιχομυθίαν καὶ ὢν περιττὸς φαίνεται ὑποβολιμαῖος.

Digitized by Google

ΚΗΡΥΞ.

ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.

ΧΟΡΟΣ.

Φεῦ φεῦ. 1045
ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐρινύες, αἴτ' Οἰδιπόδα
γένος ὠλέσατε πρέμνοθεν οὕτως,
τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σὲ κλαίειν 1050
μήτε προπέμπειν ἐπὶ τύμβῳ;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι
δεῖμα πολιτῶν.

1044. αὐτόβουλος, αὐτογνώμων (ὁ παρ' ἡμῖν κοινῶς αὐτόγνωμος κατὰ τὰ καλόγνωμος, κακόγνωμος), ἰδιογνώμων. Πρὸς τὸ αὐτόβουλος πρβ. αὐτόγνωτος Σοφ. Ἀντ. 875 σὲ δ' αὐτόγνωτος (αὐταγνώμων καὶ αὐθαίρετος ἤτοι αὐθάδης) ὤλεσ' ὀργά. — ἀπεννέπω, ἀπαγορεύων ἀφίημί σοι τὴν εὐθύνην. — Ὁ κῆρυξ ἀπέρχεται.

1045—1057 ἀπαγγέλλει ὁ Κορυφαῖος· εἶτα δὲ «διαιρεῖται ὁ χορὸς (εἰς δύο ἡμιχόρια), τῶν μὲν ὑπὲρ Πολυνείκους, τῶν δὲ ὑπὲρ Ἐτεοκλέους οὐσῶν. ὥσπερ δὲ μεμέρισται ὁ χορός, οὕτως καὶ αἱ ἀδελφαί, καὶ ἡ μὲν Ἰσμήνη τῷ Ἐτεοκλεῖ ἀκολουθεῖ καὶ τῇ πόλει, ἡ δὲ Ἀντιγόνη τῷ Πολυνείκει» (Σχολ.). Παρασημειωτέον δέ, ὅτι 1058 κέ. διαλέγονται οἱ ἡγεμόνες τῶν ἡμιχορίων.

1046. μεγάλαυχοι καὶ φθερσιγενεῖς, μεγαλαυχοῦσαι ἐπὶ τῇ τοῦ γένους φθορᾷ. Πρβ. 935 κέ., 964 καὶ Ἡσύχ. «μεγάλαυχος· μεγαλόφρων».

1047. Κῆρες Ἐρινύες, ἐπιθετικῶς, ὡς Ἀρὰ Ἐρινὺς 70. Κῆρες καλοῦνται αἱ Ἐρινύες καὶ Σοφ. Οἰδ. Τ. 471 δειναὶ δ' ἅμ' ἕπονται Κῆρες ἀναμπλάκητοι. Αἱ Ἐρινύες ἐκτελοῦσι τὴν τιμωρίαν τοῦ ἁμαρτήσαντος πρὸς ἐξαγισμὸν τῆς παραβάσεως τοῦ αἰωνίου νόμου ὑπείκουσαι τῷ κελεύσματι ἀνωτέρων θεῶν. Ἐν Σόλωνος ἀπ. 13, 75 πέμπει ὁ Ζεὺς τοῖς ἀνθρώποις τὴν Ἄτην πισομένην, παρὰ δὲ Ῥιανῷ (συγχρόνῳ τοῦ Ἐρατοσθένους) Anal. Alex. Meineke σελ. 200 τιμωρεῖται ἡ Ἄτη Ζηνὶ θεῶν κρείοντι Δίκη τ' ἐπίηρα φέρουσα. Πρβ. Προμ. 531 τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος; ΠΡΟΜ. Μοῖραι τρίμορφοι μνήμονές τ' Ἐρινύες.

1048. πρέμνοθεν, πρβ. 754.

1049. δρῶ ἀντὶ τοῦ συνήθους δράσω, ὡς Ἱκέτ. 514 ἐγὼ δὲ πῶς δρῶ; Ἀριστοφ. Θεσμοφ. 70 τί οὖν ἐγὼ δρῶ;

1049 κέ. τί δὲ μήσωμαι, τί μηχανήσωμαι. — σέ, ὦ Πολύνεικες.

1051. ἐπὶ τύμβῳ, βλ. 701.

1052 κέ. ἀποτρέπομαι] ἴδε Πέρσ. 220. Πρὸς τὴν σημασίαν τοῦ ἐκκλίνειν καὶ ἀποδιοπομπεῖσθαι πρβ. Εὐριπ. Ἰφ. τῇ ἐν Αὐλ. 335 μήτ' ὀργῆς ὕπο ἀποτρέπου τἀληθὲς κτέ. — δεῖμα πο-

Digitized by Google

σύ γε μὴν πολλῶν πενθητήρων
τεύξῃ· κεῖνος δ' ὁ τάλας ἄγοος 1055
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
εἶσιν. τίς ἂν οὖν τὰ πίθοιτο;

ΗΜΙΧ.

δράτω τι πόλις καὶ μὴ δράτω
τοὺς κλαίοντας Πολυνείκη·
ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν 1060
αἵδε προπομποί.
καὶ γὰρ γενεᾷ
κοινὸν τόδ' ἄχος, καὶ πόλις ἄλλως
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.

ΗΜΙΧ.

ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις

λιτῶν, τὰς δέος ἐμποιούσας, τὰς φοβερὰς ἀπειλὰς τῶν πολιτῶν. Ὁ Meineke εἰκάζει λῆμα.

1557. Τίς οὖν πεισθείη ἂν τούτοις (τοῖς προστάγμασι τῆς πόλεως); ἤτοι δύσκολόν ἐστι πείθεσθαι τῷ δόγματι τῶν προβούλων. — τά, βλ. 179.

1558. Ὁ νοῦς· ἂς κάμῃ καὶ ἂς μὴ κάμῃ ὅ,τι θέλει ἡ πόλις τοὺς κλαίοντας Πολυνείκη — ἐάν τε δράσῃ τι., ἐάν τε μὴ δράσῃ κτέ., ἡμεῖς πορευσόμεθα καὶ συνθάψομεν. — δράτω τι, πρβ. Σοφ. Οἰδ. ἐ. Κ. 732 ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθείς, Εὐρ. Μηδ. 1304 μή μοί τι δράσωσ' (τοὺς παῖδας) οἱ προσήκοντες γένει. Σχολ. «ὁ βούλεται ποιείτω εἰς τοὺς κλαίοντας Πολυνείκη». Περὶ τῆς διπλῆς αἰτιατικῆς τοῦ δρᾶν πρβ. καὶ στ. 907.

1561. Ἐν ταῖς λέξεσιν αἵδε προπομποί (= ἡμεῖς αἱ προπομποί, ὡς Πέρσ. 1) ἀφικνεῖται τὸ ἓν ἡμιχόριον εἰς τὴν Ἀντιγόνην καὶ τὸν νεκρὸν τοῦ Πολυνείκους. — προπομποί, 1051, Εὐμ. 206 καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς; — Μετὰ τὸ γενεᾷ ἀναπληροῖ ὁ Ritschl "τῇ Καδμογενεῖ" (τὸ ἄχος τοῦτό ἐστι κοινὸν παντὶ τῷ λαῷ τῶν Θηβαίων), διότι τὸ μέρος τοῦτο τοῦ ἡμιχορίου εἶναι κατὰ ἓν μονόμετρον βραχύτερον τοῦ ἀντιστοίχου μέρους. Ἀλλ' ὅμως ἴδε σημ. εἰς 1069 κέ. — γενεᾷ, ὡς 934, περὶ τοῦ βασιλικοῦ οἴκου: κοινωνοῦμεν ταύτης τῆς λύπης τῷ οἴκῳ. Πρβ. σημ. εἰς Πέρσ. 935 καὶ τὰς αὐτόθι Κριτ. ἐπισημ.

1062 κέ. Σαφὴς καὶ ἰσχυρὸς ὑπαινιγμὸς τοῦ ἀγχιστρόφου καὶ παλιμβόλου δήμου τῶν Ἀθηναίων. Σχολ. «οὐ διόλου τὰ αὐτὰ δοκεῖ τῷ δήμῳ». — ἄλλως ἄλλοτε, ὁ πρῴην δίκαιον νομίζει, τοῦτο ὕστερον ἄδικον οἰόμενος. Πρβ. Εἰσαγ. σελ. 335.

1064 κέ. ἅμα τῷδ', ἀπὸ κοινοῦ τὸ ἴμεν (1060). Σχολ. «ἅμα τῷ Ἐτεοκλεῖ ἐκκομιζομένῳ ἑπόμεθα». — καὶ τὸ δίκαιον, ὡς ὑπὲρ πατρίδος ἀγωνισαμένῳ (1066). — ξυνεπαινεῖ, σὺν τῇ πόλει ὑπαγορεύει καὶ ἐπιδοκιμάζει.

Digitized by Google

καὶ τὸ δίκαιον ξυνεπαινεῖ. 1065
